ΔΗΜΟΣΘΕΝΟΥΣ
ΛΟΓΟΙ
ΕΚΛΕΚΤΟΙ·

ΔΗΛΑΔΗ,

Περὶ Συντάξεως.
Περὶ Συμμοριῶν.
Περὶ τῆς τῶν Ῥοδίων Ἐλευθερίας.
Ὑπὲρ τῶν Μεγαλοπολιτῶν.
Ὀλυνθιακοὶ τρεῖς.
Φιλιππικοὶ τέσσαρες.

In USUM
STUDIOSORUM *hoc modo ſeparatim excudumtur.*

LONDINI: Typis S. PALMER.
Impenſis A. BETTESWORTH, B. MOTTE, & J. REDMAYNE; proſtant etiam apud J. KNAPTON, J. & B. SPRINT, J. BATLEY, & A. WARD.
MDCCXXVI.

B L

ΔΗΜΟΣΘΕΝΟΥΣ
Συμβουλευτικὸς,
ἤτοι
Ὁ περὶ τ Συνλάξεως ΛΟΓΟΣ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ὁ Λόγος ὗτος ἐκέτι Φιλιππικός ἐςιν, ἀλλὰ ἁπλῶς Συμβουλευτικός. Ἐκκλησίαν γὰρ ἀγόντων τ Ἀθηναίων περὶ τ θεωρικῶν χρημάτων, παρελθὼν ὁ Δημοσθένης πείθει σωταχθῆναι αὐτὰς, καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα τραπόμενος, καὶ τ Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τ προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τ παλαιῶν δεικνύς.

ΠΕΡΙ μὲν τ παρόντος ἀργυρίου, καὶ ὧν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑμέτερόν μοι δοκεῖ τ χαλεπῶν εἶναι, ὅτ' ἐπιτιμήσαντα τοῖς νέμουσι, καὶ διδῶσι τὰ κοινὰ, εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι δοκοῦσι τούτων ἡγεμόνες τὴν πόλιν· ὅτε σωτῆρες, καὶ παραινέσαντα, ὡς δεῖ λαμβάνειν, χαρίσασθαι τοῖς σφόδρα ἐν χρείᾳ τ λαβεῖν ὄντων. Οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκο-

πᾶντες, ὅτ' ἐπαινῶσιν, ὅτε δυχεραίνουσι τὸ πρᾶγμα, ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ ὠφελείας ἔχουσιν. Ἐγὼ δ', τοῦτο μὲν, ὅτ' ἂν εἰσηγησαίμην, ὅτ' ἀντείποιμι, ὡς δεῖ λαμβάνω· παραινῶ μὲν τοι σκοπεῖν, καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς, ὅτι τὸ ἀργύριον μὲν ἐστι τοῦτο, ὃ βουλεύεσθε. μικρὸν τὸ τοῦ ἔθνος, μέγα, ὃ γίγνεται μετὰ τοῦτο. Εἰ μὲν δὴ μετὰ δόξης πραττόντων προσήκοι, καὶ τὸ λαμβάνειν καταισχύνεσθαι, ἃ μόνον ἃ βλάψειε, ἀλλὰ καὶ τὰ μάγιστα ὠφελήσειε τὴν πόλιν, καὶ ὑμᾶς αὐτούς. Εἰ δὲ μὴ λαμβάνω, καὶ ἑορτὴ, καὶ πᾶσα ἀρκεσθῆ πρόφασις, δι' ἃ πρὸς τούτοις δεῖ ποιεῖν, μὴ τοὺς λόγους ἀκούων ἐθελήσειε· ὁρᾶτε μήποτε, ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι νομίσητε. Ἐγὼ δὲ φημι δεῖν (καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρίνατε) ὥσπερ τῷ λαβεῖν ἐκκλησίαν ἀπέδωκα μόνον, οὕτω καὶ δόξαν σωταχθῆναι, καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν· ἀποδοῦναι καὶ παρασχεῖν ἕκαστον αὐτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα, ἀλλὰ καὶ πράττειν βουλόμενον· ἵνα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τῶν δεινῶν, μὴ τῶν δεινῶν πεισθέντες, τι πράττητε. Καὶ τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων προσαναλίσκειν εἰς ὁδὸν δέον, καὶ ὅσα ἐκ τῶν συμμάχων ὑπάρχει, λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ ἴσον ἕκαστον· τοὺς μὲν ἐν ἡλικίᾳ, στρατιωτικόν· τοὺς δ' ὑπὲρ τὴν κατάλογον, ἐξεταστικόν, ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο στρατεύσας ἢ αὐτὸς, καὶ μηδενὶ τούτου παραχωρεῖν, ἀλλὰ τὴν δύναμιν τὴν πόλεως οἰκείαν εἶναι, καὶ κατεσκευασμένην ἀπὸ τούτων, ἵν' εὐπορῆτε, καὶ τὰ δέοντα ποιῆτε, καὶ τὸν

τ στρατηγὸν ἡγεῖαζ ταύτης. ἵν' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ταῦτα ἅπερ νυνὶ συμβαίνῃ, τὺς στρατηγὺς κρίνητε ϗ περιέσεσιν ἡμῖν ἐκ τ πραγμάτων, ὁ δεινὰ ᾗ δεῖν τ δεῖνα εἰσήγγειλεν· ἄλλο ϗ ὐδέν. Ἀλλὰ τί ὑμῖν γένηζ; πρῶτον μὲ οἱ σύμμαχοι μὴ φεύγωσιν, ἀλλὰ τῷ τὰ αὐτὰ συμφέρῃ ὑμῖν τε κἀκείνοις ὥσιν οἰκεῖοι· ἔπῃθ' οἱ στρατηγοὶ μὴ ξένυς ἔχοντες τὺς μὲ συμμάχυς ἀγώσι ϗ φέρωσι, τὺς ϗ πολεμίυς μὴ ϗ ὁρῶσιν· ἀφ' ὧν ἀι μὲ ὠφέλειαι τύτων εἰσὶν ἴδιαι, τὰ ϗ μίσθ, ϗ τὰ ἐγκλήμαῖα ἐφ' ὅλῃ ἔσχεζ τὴν πόλιν· ἀλλὰ πολίτας τὺς ἀκολυθῆντας ἔχοντες, τὺς ἐχθρὺς, ἃ νῦν τὺς συμμάχυς ϗ φίλυς ποιῶσι. Χωρὶς ϗ τύτων, πολλὰ τ πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρυσίαν. Ἀνὺ γὰ ᾗ περὶ τὺς οἰκείυς πολέμυ οἰκεία χρῆζ δυνάμει συμφέρῃ· ϗ πρὸς τὰ ἄλλα πράγμαῖα, ἀναγκαῖόν ἐσιν. Εἰ μὲ γ' ἡσυχίαν ἔχῃ ὑμῖν ἀπεχρη ϗ μηδὲν τ Ἑλληνικῶν περιεργάζεζ, ὅπως ἔχῃ, ἀλλ' ἂν ἦν λόγ· ὅτος νῦν ϗ πρωτεύειν μὲ ἀξιῦτε, ϗ τὰ δίκαια ὁρίζῃν τοῖς ἄλλοις· τὴν ϗ ταῦτα ἐποπτεύυσαν ϗ φυλάξυσαν δύναμιν ὅτε κατεσκεύασθε, ὅτε παρασκυάζεσθε· ἀλλ' ἐπὶ πολλῆς μὲ ἡσυχίας, ϗ ἐρημίας ὑμῶν ὁ Μιτυληναίων δῆμος καταλέλυ· ἐπὶ πολλῆς ϗ ἡσυχίας, ὁ Ῥοδίων· ἐχθρός γε ὢν ἡμῖν φαίη τίς ἄν; ἀλλὰ μείζω χρὴ νομίζῃν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τ προαιρέσεως ἔχθραν, ἢ τὴν πρὸς τὺς δήμυς ὑπὲρ ὧν ποτ' ἂν ᾖ. Ἀλλ' ἵν' ἐκεῖσε ἐπανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, ϗ τὴν αὐτὴν ᾗ, τε λαβεῖν, ϗ ᾗ ποιεῖν ἃ περοσήκῃ, σύνταξιν εἶναι· διελέχθην ϗ ὑμῖν περὶ τύτων καὶ

πρότερον, καὶ διεξῆλθον, ὡς ἂν σωταχθείητε οἵτε ὁπλῖται, καὶ οἱ ἱππεῖς, καὶ ὅσοι τούτων ἐντός ἐσμεν, καὶ ἀπορία τις ἂν ἅπασι γένοιτο κοινή. Ὁ δέ μοι πλείω ἀθυμίαν ἀπάντων παρέχηκεν ἐρῶ πρὸς ὑμᾶς, καὶ οὐκ ἀποκρύψομαι· ὅτι πολλῶν, καὶ καλῶν, καὶ μεγάλων ὄντων τούτων ἁπάντων, τῶν μὲν ἄλλων, οὐδενὸς οὐδεὶς μέμνηται, τοῖν δυοῖν ἢ ὀβολοῖν ἅπαντες· καί τοι τὸ μὲν οὐκ ἔστι πλείονος, ἢ δυοῖν ὀβολοῖν ἀξίως εἶναι· τὰ δ' ἄλλα, ἃ μηδὲ τούτων εἶπον, τῶν βασιλέως ἀξιά ἐστι χρημάτων, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν, καὶ τριήρεις, καὶ ἱππέας, καὶ χρημάτων πρόσοδον, σωτετάχθαι, καὶ παρεσκευάσθαι· τί ἄν, φαίη τις ἄν, ταῦτα νῦν λέγω; ὅτι φημὶ δεῖν ὑμᾶς (ἐπειδὴ τὸ μὲν ἅπαντας μισθοφορεῖν δυσχεραίνουσί τινες, τὸ δὲ σωταχθῆναι, καὶ παρασκευασθῆναι, παρὰ πάντων χρήσιμον εἶναι δοκιμάζεται) ἐντεῦθεν ἀρξαμένους τοῦ πράγματος, καὶ προθεῖναι τοῖς τούτων τῷ βελομένῳ γνώμην ἀποφήναμενος· ὡς ὅτως ἔχει· ἐὰν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν εἰς χρείαν αὐτῶν ἔλθητε, ἕτοιμα ὑπάρξει· ἐὰν δὲ ἀκαιρείαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότε ἀναγκασθήσεσθε παρασκευάζεσθαι. Ἤδη δέ τις εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, πᾶσι λέγων (οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαῤῥηγνυμένων, εἰ ταῦτα γενήσεται) τί δ' ἡμῖν ἀπὸ τοῦ Δημοσθένους λόγων ἀγαθὸν γέγονεν; ὃς παρελθὼν ὑμῶν, ὅταν αὐτῷ δόξῃ, ἐνέπλησε τὰ ὦτα λόγων, καὶ διέσυρε τὰ παρόντα, καὶ τοὺς προγόνους ἐπῃνέσας, καὶ μετεωρίσας, καὶ φυσήσας ὑμᾶς, κατέβη. Ἐγὼ δ' εἰ μὲν ὑμᾶς δικαίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθὰ, ὡς

ει

εἰ λέγω νῦν ἐπιχειρήσαιμι, πολλοὶ ἂν ἀπιστῆσαι, ὡς μείζοσιν, ἢ δυνατοῖς· ὃ μὴν, οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν οἶμαι, εἰ τὰ βέλτιστα ἀκούσῃ ὑμᾶς σωνεθίζω. Δεῖ γὰ, ὦ ἄνδρες Ἀθηναῖοι, τ βελόμενόν τι ποιῆσαι τὴν πόλιν ἡμῶν ἀγαθὸν, τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθ· διέφθαρται γάρ· οὕτω πολλοὶ κὴ ψευδῆ, κὴ πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκούετ σωνεθίσθε. Οἷον (ὅπως μὴ θορυβήσῃ μοι μηδεὶς, πρὶν ἅπαντα εἰπω) ἀνέῳξάν τινες πρωὶν δῆπου τὸν ὀπισθόδομον. Οὐκοῦν οἱ παριόντες ἅπαντες τ δῆμον καταλελῦσθ, τὺς νόμους οὐκ ἔτ' εἶναι, τοιαῦτα ἔλεγον. Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, σκοπεῖτε ἂν ἀληθῆ λεγω· οἱ μὲ ταῦτα ποιοῦντες ἄξια ἐποίουν θανάτου, ὁ δῆμος δ' ὑπ' ἀφ' τούτων καταλύεται. Πάλιν, κώπας τὶς ὑφείλετο. Μαρτυρῶν, πρεσβυτῶν πάντες ἐβόων, λέγοντες καταλύεσθ τ δῆμον. Ἐγὼ γὰ, τί φημι; τ μὲ ὑφαιρούμενον, θανάτου ποιεῖν ἄξια, ὥσπερ ἐκεῖνοι· τ δῆμον δ' ὑπ' ἀφ' τούτων καταλύεσθ ἀλλὰ πῶς καταλύεται οὐδεὶς λέγει, οὐ γὰ παῤῥησιάζεται· ἐγὼ γὰ φράσω, ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, φαύλως ἠγμένοι πολλοὶ, κὴ ἄποροι, κὴ ἄοπλοι, κὴ ἀσύντακτοι, κὴ μὴ τὰ αὐτὰ γινώσκοντες ἦτε κὴ μήτε στρατηγὸς, μήτ' ἄλλου μηδεὶς ὢν ἂν ὑμεῖς ψηφίσησθε, φροντίζη κὴ ταῦτα μηδεὶς λεγῃ ἐτελῆ, μὴ γὰ ἐπανορθοῦν, μὴ γὰ, ὅπως παύσεσθ τοιαῦτα ἅντα πράττη· ὃ νυνὶ ζυμβαίνει κὴ νὴ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτεροί γε λόγοι παρεῤῥύηκασι πρὸς ὑμᾶς ψευδεῖς κὴ πολλὰ τὴν πολιτείαν βλάπτοντες. οἷον, ἐν τοῖς δικαστηρίοις ὑμῖν ἐστι ἡ σωτηρία κὴ δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς φυλάττειν. Ἐγὼ γὰ οἶδα, ὅτι ταῦτα μὲ

ὑμῖν τὰ δικαστήρια τ̃ πρὸς ἀλλήλους δικαίων ἐστὶ κοινά· ἐν ᾧ τοῖς ὅπλοις δεῖ κρατεῖν τ̃ ἐχθρῶν· καὶ ἀφ' τούτων ἐστὶν ἡ σωτηρία τ̃ πολιτείας. Οὐ γ̃ τὸ ψηφίσασθαι τὰς ἐν τοῖς ὅπλοις ποιήσῃ νικᾶν· ἀλλ' οἱ μ̃ τούτων κρατοῦντες τὰς ἐχθρὰς, καὶ ψηφίσασθαι, καὶ ἄλλο ὅ, τι βούλεσθε ποιεῖν, ὑμῖν ἐξουσίαν καὶ ἄδειαν παρασκευάζουσι· δεῖ γ̃ ἐν μὲ τοῖς ὅπλοις φοβερὸς, ἐν ᾧ τοῖς δικαστηρίοις φιλανθρώπους εἶναι. Εἰ δέ τῳ δοκῶ μείζως ἢ καθ' ἑαυτὸν λέγειν λόγους, αὐτὸ τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ· τ̃ γ̃ ὑπὲρ τηλικαύτης πόλεως ῥηθησόμενον λόγον, καὶ τοιούτων πραγμάτων, παντὸς ἑνὸς δ̃ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τ̃ ἀξίας τ̃ ὑμετέρας ἐγγὺς εἶναι, μὴ τ̃ δ̃ λέγοντος. Ὅτι ᾧ ἂν εἰς τ̃ ὑφ' ὑμῶν τιμωμένων ταῦτας λέγειν τὰς προφάσεις, ἐγὼ διεξέρχομαι ὑμῖν. Οἱ μ̃ πρὸς ἀρχαιρεσίαν, καὶ ταύτην τὴν τάξιν προσιόντες, δῆλοι τ̃ ἐπὶ τὸ χειροτονεῖσθαι χάριν ταῦτ' ἐρεῖν, τελευτῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον ἂν εἶναι πρᾶξαι· εἰ δέ τις καὶ τοιοῦτός ἐστιν, οὗτος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲ ἡγεῖται, τὴν τ̃ πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ τὄνομα, τ̃ τ̃ ἐναντιουμένων ἐρημίας ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ' οὐδέν, κληρονομήσειν αὐτὸς τ̃ ὑμετέρων ἀγαθῶν, ὅπερ ἐστίν. Ἂν δ' ὑμεῖς δι' ὑμῶν αὐτῶν ἕκαστα πράττητε, τὸ ἴσον τοῖς ἄλλοις, ὥσπερ τ̃ ἔργων αὐτῶν, οὕτω καὶ τ̃ ἐκ τούτων τιμῆς ἕξετε. Οἱ ᾧ πολιτευόμενοι, καὶ περὶ ταῦτα ὄντες, τὸ τὰ βέλτιστα λέγειν ὑμῖν ἀφέντες, προσκεχωρήκασι πρὸς τούτους· καὶ πρότερον μὲ κατὰ συμμορίας εἰσεφέρετε, νῦν ᾧ πολιτεύεσθε κατὰ συμμορίας. Ῥήτωρ ἡγεμὼν, καὶ στρατηγὸς

στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμβοι μιᾷ ἑκατέρων, τριακόσιοι. Οἱ δ' ἄλλοι προσνενέμηνται, οἱ μὲν ὡς τούτους, οἱ δ' ὡς ἐκείνους. Τοιγαροῦν ὑμῖν πρέπει ἐν τούτων, ὁ δεῖνα χαλκεύς, καὶ ὁ δεῖνα εὐδαίμων, εἷς ἢ δύο ὑπὲρ τὴν πολιν. Οἱ δ' ἄλλοι μάρτυρες τ τούτων εὐδαιμονίας κάθησθε, τ καθ' ἡμέραν φαυλοτιμίας πολλὴν καὶ μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις προσέμβοι. Καί τοι σκέψασθε ὅπως ἐπὶ τ προγόνων ταῦτ' εἶχεν. Οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασι χρησαμένοις, ἀλλ' οἰκείοις ἐξέσαι ἃ προσήκῃ πράττειν, εἰδέναι. Ἐκεῖνοι Θεμιστοκλέα τ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν στρατηγήσαντα, καὶ Μιλτιάδην τ ἡγέμονα ἐν Μαραθῶνι, καὶ πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ εἰργασμένους, μὰ Δί', ἃ καλοὺς ἴσασαν, ἀλλ' ὑπερηγάπων· ἀλλ' ὡς ἀδὲν αὐτῶν κρείττους ὄντας καὶ ὑπερετίμων. Καὶ γάρ τοι τ ἔργων ἀδενὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τ τότε ἀπεσέρησαν ἑαυτούς. Οὐ δ' ἐστὶν ἀδεὶς, ὅς τις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων· ἀδὲ τὴν ἐν Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ τ πόλεως· νῦν δ' οἱ πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἶλε Τιμόθεος· καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης· καὶ τὴν περὶ Νάξον ἐνίκα ναυμαχίαν Χαβρίας. Δοκεῖτε δ' αὐτοὶ τ ἔργων τούτων παραχωρεῖν τ τιμῶν ταῖς ὑπερβολαῖς, ἃς δεδώκατε ἐπ' αὐτοῖς ἑκάστῳ τούτων. Τὰς μὲν δὴ πολιτικὰς δωρεὰς, ἐκεῖνοί τε καλῶς ἐδίδοσαν, καὶ ὑμεῖς οὐκ ὀρθῶς· τὰς δ' τ ξένων, πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τ ἐπ' Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει

πόλεμον, Δᾳκοσίοις ϗ ἱππεῦσι πενέσαις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαθο πολιτείαν, ἀλλ' ἀτελφαν ἔδωκαν μόνον· ϗ πρότερον τύτυ, Περδίκκα τῷ κατὰ τὴν Ὕ βαρβάρυ ποτὲ ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τὺς ἀναχωρῆντας ὑπ Πλαταιῶν τ βαρβάρων ἀπὸ τ ἥττης διαφθείραντι, ϗ τέλφον τἀτύχημα ποιησαντι τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτελφαν ἔδωκαν μόνον· μεγάλην οἶμαι ϗ τιμίαν, ϗ σεμνὴν τὴν αὐτῶν πατρίδα ἡγέμθοι, ϗ πάσης μείζονα ἐνεργεσίας· νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρυς ἀνθρώπυς, οἰκοτρίβων οἰκότριβας, τιμὴν ὥσπερ ἄλλυ τινὸς τ ὠνίων λαμβάνοντες ποιεῖσθε πολίτας. Ταῦτα δ' ὑμῖν ἐπελήλυθε πράττφν, οὐχ ὅτι τὰς φύσφς ἐστε χείρυς τ προγόνων· ἀλλ' ὅτι τοῖς μὲ ἐφ' ἑαυτοῖς παρέσηκε μέγα φρονεῖν, ὑμῶν δ', ὦ ἄνδρες Ἀθηναῖοι, ἀφῄρηται τῦτο. Ἔστι ϗ οὐδέποτ' οἶμαι δυναῖον, μικρὰ ϗ φαῦλα πράττοντας μέγα ϵ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐ ϗ καλὰ ϵ λαμπρὰ πράττοντας μικρὸν ϵ ταπφνὸν φρονεῖν. Ὁποῖ' ἄττα δ' ἂν τὰ ἐπιτηδεύματα τ ἀνθρώπων ᾖ, τοιῦτον ἀναίσκη ϵ τὸ φρόνημα ἔχφ· σκέψασθε ϗ ἄ τις κεφάλαια ἂν ἔχοι τ πραγμάτων εἰπεῖν ἀφ' ὧν τ τε ἐκείνοις πεπραγμένων, ϵ τ ὑμῖν· ἂν ἄρα ὑμῶν αὐτῶν ὑπ τύτων γε δυνήσεσθε κρείττυς γενέσθ. Πέντε μὲ τοίνυν ϗ τετ.αράκοντα ἔτη τ Ἑλλήνων ἦρξαν ἐκεῖνοι ἑκόντων· πλείω δ' ἢ μυρία τάλαντα εἰς τὴν ἀκρόπολιν σωενήγαγον· πολλὰ ϗ ϵ καλὰ, ϵ πεζοὶ, ϵ ναυμαχοῦντες ἔσησαν τρόπαια, ἐφ' οἷς ἔτι ϵ νῦν φιλοτιμούμθα. Καὶ τοι ταῦτα νομίζετε αὐτὺς ϛῆσαι, οὐχ ἵνα θαυμάζωμθ μόνον ἡ-

μεῖς

μεῖς αὐτὰ θεωρῶντες, ἀλλ' ἵνα & μιμώμεθα τὰς
τ ἀναθέντων ἀρετάς. Ἐκεῖνοι μὲ δὴ, ταῦτα. ἡμεῖς
δ ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπλημμυρῆσι, σκέ-
ψασθε εἰ παραπλήσια· ὁ πλείω μὲ ἢ χίλιες, &
πεντακόσια τάλαντα ἀνήλωται μάτην εἰς τὰς τ
Ἑλλήνων ἀπόρους; ἐξανήλωται δ οἵ τε ἴδιοι πάντες
οἶκοι, & τὰ κοινὰ τῇ πόλῃ, & τὰ παρὰ τ Συμ-
μάχων; ἃς σὺ τῷ πολέμῳ Συμμάχους ἐκτη-
σάμεθα, ἤτοι νῦν σὺ τῇ εἰρήνῃ ἀπολώλασιν; ἀλλὰ
νὴ Δία, ταῦτα μόνον τότ' εἶχε βέλτιον ἢ νῦν, τὰ
δ ἄλλα χεῖρον; πολλῷ γε & δεῖ. Ἀλλ' ὅ, τι βού-
λεσθε, ἐξετάσωμεν. Οἰκοδομήματα μὲν γε, &
κόσμον τ πόλεως, ἱερῶν, & λιμένων, & τ ἀκολού-
θων τούτοις τοιοῦτον· & τοσοῦτον κατέλιπον ἐκεῖνοι,
ὥστε μηδενὶ τ ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι.
Προπύλαια ταῦτα, νεώσοικοι, σοαὶ, τἄλλα, οἷς
ἐκεῖνοι κοσμήσαντες τὴν πόλιν ἡμῖν παρέδωκαν,
τὰς δ ἰδίας οἰκίας τ σὺ δωμάμῃ τότε γενομένων
ὕτω μετρίας, & τῷ τ πολιτείας ὀνόματι ἀκολού-
θους, ὥστε τὴν Θεμιστοκλέους, τὴν Κίμωνος, & τὴν
Ἀριστείδου, καὶ Μιλτιάδου. & τ τότε λαμπρῶν οἰ-
κείαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾶ
τ Θεμιστοκλέους ὁδὸν στενοτέραν οὖσαν. Νῦν δ', ὦ
ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς
ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα, & κρήνας & κο-
νιάματα, & λήρους· & τοῖς εἰσηγησαμένοις ταῦτ'
ἐπιτιμῶ· πολλῷ γε & δεῖ· ἀλλ' ὑμῖν, εἰ ταῦτα
ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετε εἶναι διοικεῖν· ἰδίᾳ
δ' οἱ τ κοινῶν ἐπὶ τῷ γεγενημένοι, οἱ μὲ τ δημο-
σίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας
κατεσκευάκασιν, ὁ μόνον τ πολλῶν ὑπερφανω-
τέρας·

τέρας· οἱ ὑπὲρ γῆν σωσεωνημμένοι γεωργοῦσιν, ὅσην ἀφ' ἑνὸς ἤλπισαν πώποτε· τούτων δ' αἴτιον πάντων, ὅτι τότε μὲν ὁ δῆμος ἦν δεσπότης, καὶ κύριος ἁπάντων· καὶ ἀγαπητὸν ἦν παρ' ἐκείνου τἄλλων ἑκάστῳ καὶ τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαμβάνειν, νυνὶ δὲ τἀναντίον· κύριοι καὶ τῶν ἀγαθῶν οὗτοι, καὶ ἀφ' τούτων ἅπαντα πράττειν· ὁ δὲ δῆμος ὑπηρετῶν καὶ προσθήκης μέρει· καὶ ὑμεῖς ἀγαπᾶτε, ἂν τι αὐτοὶ μεταδιδῶσι, λαμβάνοντες τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς πόλεως ἐστίν, ὡς τε εἰτεῖν ἀναγνοίη τὰ ψηφίσματα ὑμῶν, καὶ τὰς πράξεις ἐφεξῆς διελθοι, δόξει ἂν εἶς πιστεύσειν τοῦτ' αὐτῶν εἶναι ταῦτα, κἀκεῖνα. Οἷον, ἐπὶ πρὸς τὰς καταράτους Μεγαρέας ἐψηφίσασθε, ἀποτεμνομένους τὴν ὀργάδα ἐξιέναι κωλύειν, μὴ ἐπιτρέπειν· ἐπὶ πρὸς Φλιασίους, ὅτε ἐξέπεσον τὸ ἔναγχος, βοηθεῖν, μὴ ἐπιτρέπειν τοῖς σφαγεῦσι· τοὺς δὲ Πελοποννήσου τοὺς βουλομένους παρακαλεῖν. Ἅπαντα καλὰ, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα καὶ δίκαια, καὶ τῆς πόλεως ἀξία· τὰ ἔργα δὲ τούτων, οὐδαμοῦ· ἐκεῖν' ἂν μὲν ἀπέχθεσθαι ἀφ' τῶν ψηφισμάτων ἐκφέρεσθε· τῶν δ' ἔργων οὐδενὸς κύριοι γίγνεσθε. Τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ τῆς πόλεως ἀξίωμα ψηφίζεσθε· τὴν δύναμιν δ' οὐκ ἀκόλουθον, ὧν ψηφίζεσθε, ἔχετε· ἐγὼ δὲ παραινέσαιμι ἂν ὑμῖν, καί μοι μηδεὶς ὀργισθῇ, ἔλαττον φρονεῖν, καὶ τὰ ὑμέτερα αὐτῶν ἀξιοῦν πράττοντας, ἢ μείζω δύναμιν παρασκευάζεσθαι. Εἰ μὲν γὰρ Σιφνίοις, ἢ Κυθνίοις, ἢ τισιν ἄλλοις τοιούτοις ἦσι ξυμβῆναι ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἂν· ἐπειδὴ δὲ ἐστε Ἀθηναῖοι, τὸ τὴν δύναμιν παρασκευάζεσθαι παραινῶ. Αἰσχρὸν γὰρ, ὦ ἄνδρες

ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν, λιπεῖν τὴν ὑφ' ὑμῶν οἱ προγονοι παρέδωκαν· πρὸς ἢ τύ-
τοις, δεῖ ἐστὶν ἐφ' ὑμῖν, δεῖ ἐὰν ἀπορῆναι τ Ἑλ-
λήνων βέλησθε. πολλὰ γὰρ ὑμῖν ἐκ παντὸς τ χρό-
νου πεπραχται καὶ τὰς μὲ φίλους τὰς ὑπάρχοντας
αἰσχρὸν προεσθαι· τοῖς δ' ἐστιν ἐχθροῖς οὐκ ἔνι πι-
στεῦσαι μεγάλας εἶναι γενεσθαι. Ὅλως ἢ, ὅπερ
οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς, οὐκ ἔνεστ'
αὐτοῖς, ὅταν βάλωνται, παύσασθαι τοῦτο γὰρ ὑμῖν
πρόσεστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν.
Ἔστι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κεφάλαιον ἁπάντων
τ εἰρημένων, ἀδύνατον ὑμᾶς οἱ λέγοντες, ὅτε πο-
νηρὰς, ὅτε χρηστὰς ποιήσασιν, ἀλλ' ὑμεῖς τοῦτος ὁ-
ποίας ἂν βέλησθε. Οὐ γὰρ ὑμεῖς ὧν ὅτοι βέλονται
κρατήσεσθε, ἀλλ' ὅτοι ὦν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴ-
ονται. Ὑμᾶς δὲ ὑπάρξαι δεῖ χρηστὰ βουλευομένους,
καὶ πάνυ ἐξ καλῶς· ἢ γὰρ ἀδεὲς ἐρεῖ φαῦλον ἀδὲν, ἢ
ἀδὲν αὐτῷ πλέον ἔσαι, μὴ ἔχοντι τὰς πίστομένας.

ΔΗΜΟΣΘΕΝΟΥΣ
Ὁ περὶ τῶν Συμμοριῶν, ΛΟΓΟΣ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Φήμης γενομένης τ̃ Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τὴς Ἕλληνας, ὁ μ̀ τ̃ Ἀθηναίων δ̃μος κεκίνηται, & συγκαλεῖν ὥρμηται τὴς Ἕλληνας, κ τ̃ πόλεμον σκοπεῖν ἤδη. Ὁ δ̀ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τ̃ βασιλέα νεωτερίσαι. Νῦν μ̀ γάρ φησιν, ὑ πείσομθ τὴς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐπ' ἀδείας εἶναι δοκ̃ντας· τότε δ̀ αὐτὴς ὁ κίνδυνος αὐτὸς συσκήσεσθαι. Παραινεῖ τοίνυν ἡσυχάζοντας σωτάζεσθαι, καὶ πρὸς τὸν πόλεμον παρασκευάζεσθαι, κ δή, κ διέξεισιν ὃν τρόπον ἂν σωταχθεῖεν· ὅθεν & περὶ Συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμμορια γ̀ παρὰ τοῖς Ἀττικοῖς, τὸ τ̃ λῃτουργούντων σύνταγμα.

Ὁ μ̀ ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὴς προγόνους ὑμῶν, λόγον εἰπεῖν μοι δοκοῦσι προαιρεῖσθ κεχαρισμένον, ὑ μὴν συμφέροντα γε ἐκείνοις, ὃς ἐγκωμιάζουσι, ποιεῖν· ὅσοι γ̀ πραγμάτων ἐπιχειροῦντες λέγειν, ὧν ὑσ' ἂν εἷς ἀξίως ἐφικέσθ

ἐφικέας δύναιτο τῷ λόγῳ, αὐτοὶ μὲν δοκεῖν εὖ λέγειν δόξαν ἀφέροιμι· τὴν δὲ ἐκείνων ἀρετὴν ἐλάττω τῆς ὑπαληθείας παρὰ τοῖς ἀκούουσι φαίνεσθαι ποιῆσαι. Ἐγὼ δὲ ἐκείνων μὲν ἔπαινον τὸ χρέων ἡγοῦμαι μέγιστον εἶναι· ὧν πολλῷ γεγενημένων μείζω τὸν ὑπὲρ ἐκείνων πραχθέντων ἑτέρους ἄλλους παραδέξασθαι δεδύνησθαι. Αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν, ὃν ἂν μοι δοκεῖτε μάλιστα δύνασθαι παρασκευάσασθαι. Καὶ γὰρ οὕτως ἔχει· εἰ μὲν ἡμεῖς ἀπαθεῖς οἱ μέλλοντες λέγειν δεινοὶ φανείημεν ὄντες, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ' ὅτι βέλτιον ποιεῖν. Εἰ δὲ παρελθὼν εἷς ὁτισοῦν δύναιτο διδάξαι καὶ πεῖσαι, τίς παρασκευὴ, καὶ πόση, καὶ πόθεν πορισθεῖσα, χρήσιμος ἔσται νῦν τῇ πόλει· πᾶς ὁ παρὼν φόβος λέλυται. Ἐγὼ δὲ τοῦτο, ἂν ἄρα οἷός τε ὦ, πειράσομαι ποιῆσαι, μικρὰ προεπὼν ὑμῖν, ὡς ἔχω γνώμης περὶ τοῦ πρὸς τὸν βασιλέα. Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα· ὃ μὴν ἀφ' ταῦτα παραινέσαιμ' ἂν μόνοις τοῖς ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν ἄρασθαι· οὐδὲ γὰρ αὐτοὺς τοὺς Ἕλληνας ὁρῶ κοινὸς ἀλλήλοις ὄντας φίλους· ἀλλ' ἐνίοις μᾶλλον ἐκείνου πιστεύοντας, ἢ τισιν αὐτῶν. Ἐκ δὴ τούτων τοιούτων ὄντων νομίζω συμφέρειν ὑμῖν, τὴν μὲν ἀρχὴν τοῦ πολέμου τηρεῖν, ὅπως δικαία γενήσεται· παρασκευάζεσθαι δὲ καὶ προσήκει πάντα, καὶ τοῦτο ὑπάρχειν τῇ γνώμῃ. Ἡγοῦμαι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Ἕλληνας, εἰ μὴ ἐναργές τι γένοιτο καὶ σαφὲς, ὡς βασιλεὺς αὐτοὺς ἐπιχειρεῖ, καὶ συμμαχήσειν, καὶ μεγάλων χάριν ἕξειν τοῖς πρὸ αὐτῶν, καὶ μετ' αὐτῶν ἐκεῖνον ἀμυνουμένοις. Εἰ δ' ἔτι ἀδηλα τοῦτο καθεστήκοι, προαπαχθησόμεθα ἡμεῖς, δέδια, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τούτοις μετ' ἐκείνου πολεμεῖν

ἀναλ[καθῶμεν, ὑπὲρ ὧν προνοούμεθα· ὁ μὲν γὰρ ἐπιχὼν ἂν ὡρμήκει (εἰ ἄρα εἰ[χρείῃ ἔγνωκε τοῖς Ἕλλησι) χρήμαθ[α δώσῃ τισὶν αὐτῶν, καὶ φιλίαν προθ[ενεῖται. Οἱ δὲ τὰς ἰδίας πολέμους ἐπανορθώσασθαι βουλόμενοι, καὶ τοῦτον τὸν νῦν ἔχοντες, τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. Εἰς δὲ τὴν παραχὴν ταύτην, καὶ τὴν ἀγνωμοσύνην παραινῶ μὴ προκαθεῖναι τὴν πόλιν ἡμῶν· ὃ δὲ καὶ ἐπίσης ὁρῶ τοῖς τε ἄλλοις Ἕλλησι καὶ ἡμῖν πρὸς τὸν βασιλέα τὴν βάλλουσαν. ἀλλ' ἐκείνων μὲν πολλοῖς ἐνδέχεσθαί μοι δοκεῖ τὰ ἰδία τι συμφερόντων διοικουμένοις, τῶν ἄλλων Ἑλλήνων ἀμελῆσαι· ὑμῖν δὲ καὶ ἀδικουμένοις παρὰ τῶν ἀδικούντων καλὸν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἔασαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, σκεπτέον ἐστὶν ὅπως μήθ' ἡμεῖς ἐν τῷ πολέμῳ γενησόμεθα οὐκ ἴσοι, μήτ' ἐκεῖνος, ὃν ἡμεῖς ἐπιβουλεύειν ἠγόμεθα τοῖς Ἕλλησι, τὴν δὲ φίλῳ αὐτοῖς δοκεῖν εἶναι πίστιν λήψεται. Πῶς δ' ἂν ταῦτα ἔχοι; ἂν ἡ μὲν δύναμις τῆς πόλεως ἐξησθενημένη καὶ παρεσκευασμένη πᾶσιν ἦι φανερὰ, φαίνηται δὲ δίκαια φρονεῖν ἐπὶ ταύτῃ τῇ προαιρέσει. Τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα ἑτοίμως πολεμεῖν κελεύσουσιν, ἐκεῖνο λέγω, ὅτι οὐκ ἔστι χαλεπὸν, ὅταν βουλεύσῃ δέῃ, δόξαν ἀνδρείας λαβεῖν, ὅταν κίνδυνός τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι· ἀλλ' ἐκεῖνο καὶ χαλεπὸν, καὶ προσῆκον, ἐπὶ μὲν τὸν κινδύνων τὴν ἀνδρείαν ἐπιδείκνυσθαι· ἐν δὲ τῷ συμβουλεύειν φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν. Ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα χαλεπὸν τῇ πόλει, τὸν δὲ ἀγῶνα τὸν ἐκ τοῦ πολέμου ῥᾴδιον ἂν συμβῆναι· λέγω δὲ τί; ὅτι τοὺς μὲν πολέμους ἅπαντας ἀναγ-

καίως

καίως ἡγοῦμαι τριήρων, καὶ χρημάτων, καὶ τόπων
δεῖσθ. ταῦτα δ' πάντα ἀφθονώτερα σφεῖν ἔχον-
τα ἡμῶν εὑρίσκω· τὰς δ' ἀγωνας ὑδενὸς ἧττω τ ἄλ-
λων ὁρῶ διαμφύσας, ὡς ἀγαθῶν ἀνδρῶν· τούτους δ'
ἡμεῖν καὶ τοῖς μεθ' ἡμῶν κινδυνεύουσι πλείους ὑπάρ-
χειν νομίζω. Τὸν μὲν δὴ πόλεμον, ἀφ' ταῦτα παρ-
αινῶ μήθ' ἑξ ἑνὸς τρόπου προτέρους ἀνελεσθ· ἐπὶ δ'
τ ἀγῶνα ὀρθῶς φημὶ παρεσκευασμθαι ὑπάρχειν
χρῆναι. Εἰ μὲν ἦν ἑτερον ἦν τις τρόπον δυνάμεως,
ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθ, ἕτερον δ' τις
ᾧ τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖ-
νον ἐγινόμεθα ἀντιτασσόμενοι. Ἐπεὶ δ' πάσης πα-
ρασκευῆς ἐστιν ὁ αὐτὸς τρόπος, καὶ δεῖ τὰ αὐτὰ εἶ-
ναι κεφάλαια τ δυνάμεως, τοὺς ἐχθροὺς ἀμύνασθ
δύνασθ, τοῖς δ' σι συμμάχοις βοηθεῖν, τὰ ὑπάρ-
χοντ' ἀγαθὰ σώζειν· τί τοὺς ὁμολογοῦντας ἐχθροὺς
ἔχοντες ἑτέρους ζητοῦμθ; ἀλλ' ἃ παρασκευαζόμει-
θα μὲν πρὸς τούτους, ἀμυνόμεθα δ' κἀκείνων, ἐὰν ἀδι-
κεῖν ἡμᾶς ἐπιχθῇ· καὶ νῦν μὲ καλεῖτε πρὸς ὑμᾶς
αὐτοὺς τοὺς Ἕλληνας· ἐὰν δ' ἃ κελεύσωσιν ὕτοι, μὴ
ποιῆτε, ἀχ ἡδέως ὑμῖν σύνοιαν ἐχόντων, πῶς χρὴ
προσδοκᾶν τινα ὑπακούσεσθ; ὅτι νὴ Δία ἀκούσονται
παρ' ἡμῶν, ὅτι ἐπιβουλεύθ βασιλεὺς αὐτοῖς, αὐτοὺς
δ' προορᾶν; ὦ πρὸς Διὸς, οἴεσθε τοῦτο; ἐγὼ μὲν
οὖ οἶμαι· ἀλλ' ὅπου μείζων ὕτος ἔοθ' ὁ φόβος τ
πρὸς ὑμᾶς, καὶ πρὸς ἀλλήλους σύνοιας διαφορῶν. Οὐδὲν
ἂν ἀλλ' ἢ ῥαψωδήσουσιν οἱ πρέσβεις ἀφικόμενοι. Τό-
τε δ' ἂν ἆρα ἃ νῦν οἰόμεθα ἡμεῖς, πράξητε, ἰδεῖς
ὅπως τ ἁπάντων Ἑλλήνων τηλικοῦτον ἐφ' ἑαυτοῦ
φρονήσ, ὅς τις ὁρῶν ὑμῖν χιλίους μὲν ἱππέας, ὁπλί-
τας δ' ὅσους ἂν θέλῃ τις, ναῦς δ' τριακοσίας, ἀχ

ἥξει καὶ δεήσει, μὴ τούτων ἀσφαλέσαι ἂν ἡγήμεθα σωθῆναι. Οὐκοῦν ὅτι μὲν δεῖ καλεῖν ἤδη, τοῦτο δεῖ, κἂν μὴ τύχητε, ἁμαρτεῖν· ὅτι δὲ μὴ τὸ παρασκευάσασθαι, τὰ ὑμέτερα αὐτῶν ἐπιχειροῦντες σώζειν, καὶ εὖ εἰδέναι πάντας ἡξοντάς ἐστιν. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτά τε, καὶ τὰ παραπλήσια τούτοις λογιζόμενος, λόγον μὲν οὐδένα ἐβουλόμην θρασὺν, οὐδὲ μάταιον ἔχοντα μῆκος εὑρεῖν· τὴν μέντοι παρασκευὴν ὅπως ὡς ἄριστα καὶ τάχιστα γενήσεται, πάνυ πολλὰ πράγματα ἔχον σκοπῶν· οἶμαι δὴ δεῖν ἀναστάντας ὑμᾶς αὐτοὺς, ἂν ἀρέσκῃ, ψηφίζεσθαι. Ἐστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας ὑμῶν, ὡς ἕκαστον ἑκόντα προθύμως ὅ, τι ἂν δέῃ ποιήσοντα. Ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὅσα μὲν πώποθ' ἅπαντες ὑμεῖς ἐβουλήθητε, καὶ μετὰ ταῦτα τὸ πράττειν αὐτὸς ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώποθ' ὑμᾶς ἐξέφυγεν· ὅσα δ' ἐβουλήθητε μέν, μετὰ ταῦτα δ' ἀπεβλέψατε πρὸς ἀλλήλους, ὡς αὐτὸς μὲν ἕκαστος οὐ ποιήσων, τὸν δὲ πλησίον πράξαντα, οὐδὲν πώποτε ὑμῖν ἐγένετο. Ἐχόντων δ' ὑμῶν οὕτω καὶ παροξυνομένων, τὰς μυρίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι δισχιλίους, ὀκτακοσίους αὐτοῖς προσεπιμανθάνειν. Ἐὰν γὰρ τοῦτ' ἀποδείξητε τὸ πλῆθος, ἡγοῦμαι τὸν ἐπικλήρων, καὶ τὸν ὀρφανῶν, καὶ τὸν κληρουχικῶν, καὶ τὸν κοινωνικῶν, καὶ εἴ τις ἀδύνατος, ἀφαιρεθέντων, ἔσεσθαι χίλια, καὶ μυρία ταῦτα ὑμῖν σώματα. Ἐκ τοίνυν τούτων οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσπερ νῦν εἰσιν, ἐξήκοντα σώματα ἔχουσαν ἑκάστην. Τούτων δὲ τὸν Συμμοριῶν ἑκάστην διελεῖν κελεύω εἰς

πέντε

πέντε μέρη, κατὰ δώδεκα ἄνδρας, ἀνταναπληρῶντας πρὸς τ ἐυπορώτατον ἀεὶ, τὰς ἀπορωτάτας. Καὶ τὰ μὲν σώματα, ὅταν φημὶ δεῖν συντετάχθαι· δι' ὃ ϗ, εἴσεσθε, ἐπὰν ὅλον τ τρόπον τ συντάξεως ἀκούσητε· τὰς ϗ τριήρης, πῶς; τ ἅπαντα ἀριθμὸν κελεύω τριακοσίας ἀποδείξαντας, κατὰ τὴν πεντεκαιδεκαναίαν εἰκοσι ποιῆσαι μέρη, τ πρώτων ἑκατὸν πέντε, ϗ τ δευτέρων ἑκατὸν πέντε, ϗ τ τρίτων ἑκατὸν πέντε, ἑκάστῳ μέρει διδόντας. Εἶτα συγκληρῶσαι συμμορίαι σωμάτων ἑκάστῃ τὴν πεντεκαιδεκαναίαν· τὴν ϗ συμμορίαν ἑκάστῳ τῷ μέρει σφῶν αὐτῶν τρεῖς ἀποδοῦναι τριήρης. Ἐπὰν ϗ ταῦτα ὅτως ἔχοντα ὑπάρχῃ, κελεύω, ἐπὰν τὸ τίμημά ἐστι τὸ τ χώρας ἑξακισχιλίων ταλάντων, ἵν' ὑμῖν ϗ τὰ χρήματα ᾖ συντεταγμένα, διελεῖν τοῦτο, ϗ ποιῆσαι καθ' ἑξήκοντα τάλαντα ἑκατὸν μέρη· εἶτα πέντε ἑξήκοντα ταλαντείας εἰς ἑκάστην τ μεγάλων τ εἴκοσι Συμμοριῶν ἐπικληρῶσαι· τὴν ϗ Συμμορίαν ἑκάστῳ τ μερῶν μίαν ἑξήκοντα ταλαντείαν ἀποδοῦναι· ὅπως ἐὰν μὲν ὑμῖν ἑκατὸν δέῃ τριήρων, τὴν μὲν δαπάνην ἑξήκοντα τάλαντα συντελῇ, τριήραρχοι δ' ὦσι δώδεκα· ἐὰν ϗ δέῃ διακοσίων, τριάκοντα μὲν ᾖ τάλαντα τὰ τὴν δαπάνην συντελοῦντα, ἓξ ϗ σώματα τριηραρχοῦντα· ἐὰν ϗ πριακοσίων, εἴκοσι μὲν ᾖ τάλαντα τὴν δαπάνην διαλύοντα, τέτταρα ϗ σώματα τριηραρχοῦντα· τ αὐτὸν ϗ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, ϗ τὰ νῦν ὀφλόμενα τ σκευῶν ἐπὶ τὰς τριήρης τιμήσαντας, ἅπαντα ἐν ᾗ διαγράμματα θεῖναι κελεύω, μέρη εἴκοσιν ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμμορίαις μέρος ἓν χρηστὸν ἑκάστῃ· τὴν ϗ Συμμορίαν ἑκάστην διανεῖμαι τ ἑαυτῆς μερῶν

ἑκάστῳ τὸ ἴσον· τὰς δὲ δώδεκα τὰς ἐν ἑκάστῳ τῷ μέρει ταῦτ' εἰσπράξαντας, τὰς τριήρεις ἃς ἕκαστοι λαχόντι τῷ μέρει ταῦτ' εἰσπράξαντας, τὰς τριήρεις ἃς ἂν ἕκαστοι λάχωσι παρεσκευασμένας παρέχειν. Τὴν μὲν δαπάνην, καὶ τὰ σκάφη, καὶ τοὺς τριηράρχους, καὶ τὴν τῶν σκευῶν εἰσπραξιν, ὅτως ἂν ἄριστ' ἡγῶμαι καὶ πορισθῆναι, καὶ παρασκευασθῆναι. Πλήρωσις δὲ καὶ σαφὴς ὅθεν ἔσται καὶ ῥᾳδία μετὰ ταῦτα λέγω· φημὶ τοὺς στρατηγοὺς δεῖν διανεῖμαι τόπους δέκα τῶν νεωρίων, σκεψαμένους ὅπως ὡς ἐγγύτατα ἀλλήλων καὶ ἀεὶ τριάκοντα ὧσι νεώσοικοι. Ἐπειδὰν δὲ τοῦτο ποιήσωσι, δύο συμμορίας καὶ τριάκοντα τριήρεις τούτων ἑκάστῳ προσνεῖμαι τῶν τόπων· εἶτ' ἐπικληρῶσαι τὰς φυλάς. Τῶν δὲ τριηράρχων ἕκαστον, καθ' ἕκαστον νεώριον· ἵνα ὧσι συμμορίαι δύο, τριήρεις τριάκοντα, καὶ φυλὴ μία· ὃν ἂν ἡ φυλὴ τόπον λάχῃ, διελεῖν τρίχα· καὶ τὰς ναῦς ὡσαύτως· εἶτ' ἐπικληρῶσαι τὰς τριττύς· ὅπως ἂν τῶν μὲν ὅλων νεωρίων ἐν ἑκάστῳ μέρει ᾖ τῶν φυλῶν· ἕκαστος δὲ μέρος ἑκάστου τὸ τρίτον μέρει ἡ τριττὺς ἔχῃ. Εἰδῆτε δ' ἀντιδέκα, πρῶτον μὲν τὴν φυλήν, ὅπου τέτακται· μετὰ ταῦτα δὲ τὴν τριττύν. Εἶτα τριήραρχοι τίνες, καὶ τριήρεις πόσαι. Καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα δὲ ἡ τριττὺς ἑκάστη τριήρεις ἔχει. Ἐὰν δὲ ταῦθ' ὅτως εἰς ὁδὸν καταστῇ, εἶτα καὶ παραλίπωμεν νῦν, πάντα δὲ ἀκριβῶς πως εὑρεῖν ἐν ῥᾴδιον, αὐτὸ τὸ πρᾶγμα ἑαυτῷ εὑρήσει· καὶ μία σύνταξις καὶ πασῶν τῶν νεῶν, καὶ μέρος ἕκαστον. Ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανερῶν τινῶν ἤδη παράδοξον μὲν οἶδα λόγον, ὃν μέλλω λέγειν· ὅμως δ' ἐρήσεται. Πιστεύω δέ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος τἀληθῆ καὶ τὰ γενησόμενα ἐξενηνόχως φανήσεσθαι. Ἐγὼ φημι

φημι χρῆναι, μὴ λέγειν νυνὶ περὶ χρημάτων εἶναι
τοῦ πόρου ἂν δέῃ, μέγαν, καὶ καλὸν, καὶ δίκαιον ὄν ἐ-
ὰν μὴ νῦν ζητῶμεν, ὅθεν εἰς τοῦτ' ὑπάρξει ἡγησόμε-
θα ἡμῖν. Οὕτω πολὺ δεῖ πορίσαι νῦν ἀποχήσομεν, ἐὰν
δεήσῃ ἐῶμεν, ἔσται. Τίς δ' ἔστ' ὅστις, ὁ νῦν μὴ σὺν ὢν,
ὑπάρξων δ' ὕστερον; ἀινίγματι σοι ὅμοιον τοῦτό γε ἐγὼ
φράσω. Ὁρᾶτε τὴν πόλιν, ὦ ἄνδρες Ἀθηναῖοι, πᾶ-
σαν ταυτηνί; ἐν ταύτῃ χρήματα ἔνεστιν, ὀλίγῳ δέω
πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις· ταῦτα δ' οἱ
κεκτημένοι τοιοῦτον ἔχουσι τὸν νοῦν, ὡς εἰ πάντες οἱ ἐν-
ταυθοῖ λέγοντες φοβοῖεν, ἀεὶ ἡμῖν βασιλεὺς, ὡς πάρ-
εσιν, ὡς ἔχει οἷόν τε ταῦτ' ἄλλως ἔχειν, καὶ μετὰ τοῦ λε-
γόντων ἴσοι τὸ πλῆθος τούτοις χρησμῳδεῖεν· ἐ
μόνον σὺν ἂν εἰσενέγκαιεν, ἀλλ' ἐ δεῖ ἂν δείξαιεν, ἐ
δεῖ ἂν ὁμολογήσαιεν κεκτῆσθαι. Εἰ μέντοι τὰ νῦν ἀπὸ
τῶν λόγων φοβερὰ ἔργῳ πρατόμενα αἰσθοινθο, ἐδεὶς
ἂν οὕτως ἠλίθιος ἦν, ὅστις ἔχει ἱκανὸν δοίη, καὶ πρῶτος
εἰσενέγκοι. Τίς γὰρ αἱρήσεται μᾶλλον αὐτὸς, καὶ τὰ
αὐτὰ πάντ' ἀπολωλέναι, ἢ μέρος τῶν ὄντων ὑπὲρ ἑαυ-
τοῦ καὶ τῶν λοιπῶν προσενέγκειν; χρήματα μὲν δὴ φημι
εἶναι τότε ἂν ὡς ἀληθῶς δεῖ· πρότερον δὲ, οὔ. Διὸ
μὴ δεῖ ζητεῖν παραινῶ. Ὅσα γὰρ νυνὶ πορισαισθ' ἂν
ἐκ προέλοισθε πορίζειν, πλείων ἐστὶ γέλως ἢ μηδενός.
Φέρε γὰρ, ἑκατοστὴν τις εἰσφέρειν ἐρεῖ; σὺκ ἔξηκον-
τα τάλαντα ἐρεῖ. Ἀλλὰ πεντηκοστὴν τις ἐρεῖ; τὸ δι-
πλοῦν σὺκοῦν, ἑκατὸν καὶ εἴκοσι. Καὶ τί τοῦτ' ἐστὶ πρὸς
διακοσίας, καὶ χιλίας καμήλους, ἃς βασιλεῖ τὰ χρή-
ματ' ἄγειν φασὶν ἔνιοι; ἀλλὰ θῶ, βέλεσθε δωδε-
κάπλουν ὑμᾶς εἰσοίσειν; πεντακόσια τάλαντα. Ἀλλ'
ἔστ' ἂν ἀνάσχοισθε, ἔστ' ἂν, εἰ καλαθείπλε, ἄξια δὲ
πολέμου τὰ χρήματα. Δεῖ τοίνυν ὑμᾶς τἄλλα πα-

ρασκευά-

ρασκευάσασθε, τὰ δ' χρήματα νῦν μὲν ἔᾳν τοὺς κεκ-
τημένους ἔχειν· ἐδαμοῦ γὰρ ἂν καλλίονι σώζοιτο τύ-
πολ· ἐὰν δέ ποθ' ὁ καιρὸς ἥκῃ ἔλθοι, τότε ἐκόν-
των εἰσφερόντων αὐτῶν λαμβάνειν. Ταῦτα δ' ἃ δυ-
νατά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ πράττειν καλὰ, καὶ
συμφέροντα, καὶ βασιλεῖ περὶ ὑμῶν ἐπιτήδεια ἀπαγ-
γελθῆναι· καὶ φόβον οὐκ ὀλίγον γένοιτ' ἂν ἐκεί-
νῳ ἀφ' τούτων. Οἶδε μέν γε τριακοσίαις τριήρεσιν,
ὧν ἑκατὸν παρεχόμεθ' ἡμεῖς, τοὺς προγόνους αὐτοῦ
χιλίας ἀπολέσαντας ναῦς· ἀκούσεται δ' τριακοσί-
ας αὐτὰς ὑμᾶς παρεσκευασμένους τριήρεις. Ὥστε
μὴ κομιδῇ. μὴ δ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴ-
διον εἶναι, τὸ τὴν ὑμετέραν πόλιν ἐλθεῖν ποιήσασ-
θαι. Ἀλλὰ μήν, εἴγε ἐπὶ χρήμασιν αὐτῷ μέγα
ἐπέρχεται φρονεῖν, καὶ ταύτῃ ἀσθενεστέραν ἀφορμὴν
τῶν ὑμετέρας εὑρήσει· ὁ μέν γε χρυσίον, ὡς φασιν, ἄγει
τοῦτο δ' ἂν ἀφαδῶς ζητήσει. Καὶ γὰρ τὰς κρή-
νας καὶ τὰ φρέατα ἐπιλιπεῖν πέφυκεν, ἐάν τις ἀπ'
αὐτῶν ἀθρόα, καὶ πολλὰ λαμβάνῃ· ἡμῖν δ' τὸ τῆς χώ-
ρας τίμημα ὑπάρχον ἀφορμὴν ἑξακισχίλια τάλαντα
ἀκούσεται, ὑπὲρ ἧς ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀ-
μυνούμεθα, οἱ ἐν Μαραθῶνι τῶν προγόνων αὐτοῦ μά-
λιστ' ἂν εἰσιδεῖεν· ἕως δ' ἂν κρατῶμεν, οὐκ ἔνι δήπου
χρήματ' ἡμᾶς ἐπιλιπεῖν. Καὶ μὴν ἀδ', ὅ, τινες δεδί-
ασι, μὴ ξενικὸν πολὺ συσήσηται χρήματα ἔχων,
ἀληθὲς εἶναί μοι δοκεῖ. Ἐγὼ γὰρ ἡγοῦμαι ἐπὶ μὲν
Αἴγυπτον, καὶ Ὀρόντην, καί τινας τῶν ἄλλων βαρ-
βάρων πολλὰς ἂν ἐθελῆσαι τῶν Ἑλλήνων μισθοφο-
ρεῖν παρ' ἐκεῖνον· οὐχ ἵνα ἐκεῖνος ἕλῃ τινὰ τούτων,
ἀλλ' ἵν' εὐπορίαν τινὰ ἕκαστος αὐτῷ κτησάμενος,
ἀπαλλαγῇ τῆς ὑπαρχούσης πενίας. Ἐπὶ δὲ τὴν ἄλλην

Ἑλλάδα,

Ἑλλάδα, Ἕλλησι δένα ἂν ἐθέλῳ ἡγῆσθαι. Πεῖ γὰρ αὐτὸς τρέψῃ μὴ ταῦτα; εἰς Φρυγίαν ἐλθὼν δουλεύσῃ· ὁ γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τ βάρβαρον πόλεμος, ἢ περὶ χώρας, καὶ βίου, καὶ ἐθῶν, καὶ ἐλευθερίας, καὶ πάντων τ τοιούτων. Τίς γὰρ οὕτως ἐστὶ δυσυχής, ὅστις ἑαυτὸν, γονέας, τάφους, παῖδα ἕνεκα κέρδους βραχέος προέσθαι βούλοιτ; ἐγὼ μὲν οὐδένα ἡγοῦμαι. Καὶ μὴν, ὑπὲ ἐκείνῳ συμφέρῃ ξένους κρατῆσαι τ Ἑλληνικῶν· οἱ γὰρ ἡμῶν κρατήσαντες, ἐκεῖνοι γε πάλιν ἂν κρείττους ἦσαν. Βούλεται δ' ἐκεῖνος οὐκ, ἀνελὼν ἡμᾶς, ἐπ' ἄλλοις εἶναι· ἀλλὰ μάλιστα μὲν πάντων, εἰ δὲ μή γε τ ὑπαρχόντων δούλων ἑαυτῷ νῦν ἄρχειν. Εἰ τοίνυν τις οἴεται Θηβαίους ἕσεσθαι μετ' ἐκείνου, ἧττον χαλεπὸς πρὸς ἡμᾶς ὁ περὶ τούτων λόγος· ἅμα γὰρ τὸ μισεῖν αὐτοὺς, οὐδ' ἂν ἀληθὲς ἦδεως, οὐδ' ἂν ἀγαθόν τι περὶ αὐτῶν ἀκούσαιτε· ὁ μὲν ἀλλὰ δεῖ τοὺς περὶ πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμφέροντα λογισμὸν παραλιπεῖν ἅμα μηδεμίαν πρόφασιν. Ἔγωγε τοίνυν οἶμαι τοσοῦτον ἀπέχειν Θηβαίους τ μετ' ἐκείνου πότ' ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας, ὥστε πολλῶν ἂν χρημάτων εἰ ἔχοιεν δοῦναι, πρίασθαι, γενέσθαι τινὰ αὐτοῖς καιρὸν, δι' οὗ τὰς προτέρας ἁμαρτίας διαλύσονται πρὸς τοὺς Ἕλληνας ἁμαρτίας· εἰ δ' ἄρα παντάπασί τις οὕτως οἴεται φύσει δυσυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό γε δήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι Θηβαίων τὰ ἐκείνου φρονούντων, ἀνάγκη τοὺς τούτων ἐχθροὺς τὰ τ Ἑλλήνων φρονεῖν. Ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην τὴν τάξιν τ δικαίαν, καὶ τοὺς μετ' αὐτῆς ὄντας, τ προσδοτῶν κρείττους καὶ τ βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας, ὡς ὅτε φοβεῖσθαί φημι δεῖν πέρα

τοῦ

τῆς μετρίας, ἢ ὑπαχθῆναι προτέρους σκῆψιν τοῦ πολέμου. Καὶ μὴν, ὅσῳ τῶν ἄλλων ἀδύνατα ἂν εἰκότως Ἑλλήνων φοβηθέντα τὸν πόλεμον τοῦτον ὁρῶ. Τίς γὰρ οὐκ οἶδεν αὐτῶν, ὅτι ἕως μὲν σκεῖνον κοινὸν ἐχθρὸν ὑπῆρχεν ἅπασιν, ὁμονοοῦντες ἀλλήλοις, πολλῶν ἀγαθῶν ἦσαν κύριοι· ἐπειδὴ δὲ φίλον αὐτὸν νομίσαντες αὐτοῖς ὑπάρχειν, πρὸς ἀλλήλους διηνέχθησαν ἀφορῶν· ὅσα ἂν δὲ καταρώμενος εὕροι τις αὐτοῖς, τοσαῦτα πεπόνθασι κακά· εἰ δ' ἐν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δὲ ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; μηδαμῶς· ἀλλὰ μὴ ἀδικῶμεν, ἡμῶν αὐτῶν ἕνεκα, καὶ τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ ἀπιστίας ἕπεκα· εἴγε ὁμοθυμαδὸν ἦν μὴ πάντων ἐπιθέσθαι μόνῳ, ἀλλ' ἀδικεῖν ἂν ἡμᾶς ἕδοξεν ἐκεῖνον· ἐπειδὴ δὲ τοῦτ' οὐκ ἔστως ἔχει, φυλάττεσθαί φημι δεῖν, μὴ πρόφασιν δῶμεν βασιλεῖ τὰ δίκαια ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν γὰρ ἐχόντων ὑμῶν, ὑπόπτῳ ἂν εἴη τοιοῦτό τι πράττειν πόλεμον ἢ ποιησαμένων πρότερον, εἰκότως ἂν δοκοίη ἅψασθαι τὴν πρὸς ὑμᾶς ἔχθραν, τοῖς ἄλλοις φίλῳ εἶναι βούλεσθαι· μὴν ἂν ἐξελέγξητε ὡς κακῶς ἔχει τὰ Ἑλληνικὰ, συγκαλοῦντες ὅτε δ' πείσετε καὶ πολεμοῦντες, ὅτε δ' διωκήσεσθε· ἀλλ' ἔχετε ἡσυχίαν, θαρροῦντες καὶ προσκυλαζόμενοι· ἢ βούλεσθε ἀπαγγέλλεσθαι τῶν ὑμῶν πρὸς βασιλέα, μὴ μὰ Δία ἂς ἀπορῶσιν, μὴ φοβοῦνται, ἢ θορυβεῖσθαι πάντες οἱ Ἕλληνες, καὶ οἱ Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὅτι, εἰ μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ὥσπερ σκεύῳ καλῷ, πάλαι ἂν ὑμεῖς ἐπ' ἐκεῖνον ἐπορεύεσθε· νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε ὑμῶν

ὑμῶν ἕνεκα αὐτῶν· εὔχεσθε ἢ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκείνου, ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ· καὶ ταῦτ' ἂν ἐπίη σκοπεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει. Ἐκ μὲν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμων σύνοιδε τὴν πόλιν εὐδαίμονα, καὶ μεγάλῳ γεγενημένην· ἐκ δὲ τῆς ἡσυχίας, ἣν ἦγε πρὸ τούτων, ἀδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσούτου, ὅσον νῦν ὑπεραίρουσαν. Καὶ μὴν, καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους, ἥτοι τινὸς ἐκείνοις, ἢ ἀκούσιος μᾶλλον· τοῦτον δ' αὐτὸν οἶδεν ἂν φανέντα αὐτοῖς, εἰ πόλεμον κινοίη. Ὥστε καὶ γνώριμα, καὶ πιστὰ αὐτῷ τὰ ἀπαγγελλόντων ἀκούειν ἔσται. Ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ λέγων λίαν ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἀπέρχομαι· παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω· ἀμύνεσθαι δὲ καὶ βασιλέα, καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ δυνάμει φημὶ δεῖν· ἀρχὴν δὲ μηδενὸς, μήτε λόγῳ, μήτε ἔργῳ ἀδίκῳ· τὰ δ' ἔργα ὑμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται, σκοπεῖσθε μᾶλλον, μὴ τοὺς ἐπὶ βήματι λόγους· καὶ ἂν ταῦτα ποιῆτε καὶ ὑμῖν αὐτοῖς, καὶ τοῖς τἀναντία πείθεσι συμφέροντα πράξετε· ἃ γὰρ ὀργισθήσεσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτάνουσι.

Δ Η-

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ὁ περὶ τῆς τῶν Ῥοδίων Ἐλευθερίας ΛΟΓΟΣ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τὸν Συμμαχικὸν κληθέντα πόλεμον ἦραντο πρὸς Ἀθηναίους Χῖοι, καὶ Ῥόδιοι, καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. Γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τῷ ταύτης ὑπάρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκει. Ὁ δὲ κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν, ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο, καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος, ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. Συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ φθονεῖν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι λέγων τὰς πόλεις. Εἰ δὲ ἠδικήκασιν ἡμᾶς Ῥόδιοι, φησὶν, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν, καὶ Σύννηθες, τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν, καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς πόλιν.

Οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. Ἐγὼ δὲ οὐδέποτε ἡσυχάσαιμι καλεπὸν διδάξαι τὰ βέλτιστα ὑμᾶς, ὡς ἔπος εἰπεῖν ἁπλῶς, ἅπαντες ἐπιστάμενοι ἴσως ἀρχήν μοι δοκεῖτε· ἀλλὰ τὸ πράττειν πείσαι ταῦτα· ἐπιδεᾶ γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τοσοῦτον δεῖ πραχθῆναι ἀπέχει, ὅσον πρὶν δόξαι. Ἔστι μὲν οὖν ἐν, ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ, τὴν ἀφ' ἑαυτῶν ὕβριν ὑμῖν πολεμήσαντας ἀπάλαι, νῦν σὺν ὑμῖν μόνοις τῶν ἁπάντων σωτηρίας ἔχειν τὰς ἐλπίδας· ἄξιον δὲ καθῆναι τῷ παρόντι καιρῷ. Συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθε αὐτὰ, τὰς παρὰ τῶν Λακεδαιμονίων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μὴ δόξῃ καλῶς ἀπολύσασθαι. Ἠτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς Χῖοι, καὶ Βυζάντιοι, καὶ Ῥόδιοι, καὶ ἀφ' ἑαυτῶν σωμάτησαν ἐφ' ἡμᾶς τὸ τελευταῖον τοτὲ πόλεμον· φανήσεται δὲ, ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας, Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος. Οἱ δ' ἀποδεξάντες αὐτὸν συμμάχους, Χῖοι, καὶ Βυζάντιοι, τοῖς ἀτυχήμασιν αὐτῶν ὠφέλησαν βοηθήσαντες· ὑμεῖς δὲ, ὃς ἐφοβεῖτο, μόνοι τῶν πάντων τὴν σωτηρίας αὐτοῖς αἴτιοι. Ἐκ δὲ ταῦτα ὑπὸ πάντων ὀφθῆναι, ποιήσετε τὸν πολὺν ἐν ἅπασαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶν σωτηρίας ἐὰν ὑμῖν ὦσι φίλοι· ἢ μεῖζον ἀγαθὸν ἂν ὑμῖν γένοιτο ἀγαθὸν, ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτως τυχεῖν εὐνοίας.

Θαυμάζω δ' ὅτι τὰς αὐτὰς ὁρῶ ὑπὲρ μὲν Αἰγυπτίων τἀναντία πράττων βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ ὧν δ' Ῥοδίων δήμου φοβούμενος τὸν αὐτὸν ἄνδρα τοῦτον· καίτοι τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασι· τοὺς δ' ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμισηκότας. Οἶμαι δ' ὑμῶν μνημονεύειν ἔνιους, ὅτι ἡνίκα ἐβουλεύεσθε περὶ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα, οἶμαι δ' οὐ μόνος, ἡδυτέρους εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς, μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν, ποιοῖσθε· ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθρούς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. Καὶ οὐκ ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν· ἀλλ' οὐ δὴ ὑμῖν ἤρεσκε ταῦτα. Ἀκόλουθον τοίνυν λόγον ἐστί μοι τῷ τότε ῥηθέντι. Ἐγὼ γὰρ εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ' ἂν αὐτῷ παραινέσαιμι, ἅπερ ὑμῖν· ὑπὲρ μὲν τοῦ ἑαυτὸν πολεμεῖν, ἐάν τις ἐναντιῶται τοῖς Ἕλλησιν, ὧν οὐ μηδὲν αὐτῷ προσήκει, τούτων μὴ δ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. Εἰ μὲν ἔν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται, φθάσας παρακρουσάμενός τινας τοῖς ἐν ταῖς πόλεσι, παραχωρεῖν· ἂ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω. Εἰ δ' ὑπέρ γε τοῦ δικαίου, οὐ πολεμεῖν ἂν τοῦτο δέοι, οὐ πάσχειν ὅτιοῦν ἂν οἴεσθε χρῆναι· πρῶτον μὲν ὑμῖν ἦττον δόξετε τούτου, ὅσῳ μᾶλλον ἂν ἐγνωκότες ἦτε ταῦτα· ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε. Ὅτι δ' οὐδὲν καινὸν ἔστ' ἐγὼ λέγω νῦν, κελεύων Ῥοδίους ἐλευθεροῦν, ἴδετ' ὑμεῖς ἂν πεισθῆτέ μοι, ποιήσετε, τοῦ γεγενημένων ὑμᾶς τι τοῦ συνενηνοχότων ὑπομνήσω. Ὑμᾶς ἐξεπέμψατε Τιμόθεον

ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντας Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι, μὴ λύσοντας τὰς σπονδὰς τὰς πρὸς βασιλέα. Ἰδὼν δὲ σκεῦος μὲν Ἀριοβαρζάνου φανερῶς ἀφεστῶτα τοῦ βασιλέως, Σάμον ἣ Φρυγομύλοις ὑπὸ Κυπροθέμιδος, ὃν καλέσησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπεύχεσθαι μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσε. Καὶ μέχρι τῆσδε τῆς ἡμέρας ἐγένετο πόλεμος ἀφ' ταύτῃ ὑμῖν· ἐκ μὲν ὁμοίως ἐθέλοις ὑπὲρ τε τοῦ πλεονεκτεῖν πολεμήσειν ἂν, καὶ ὑπὲρ τῆς ἀυτοῦ· ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦσθαι, μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν· ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν, οὐχ οὕτως· ἀλλ' ἐφίενται μὲν, ἐάν τις ἐᾷ· ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἀναντιωθέντας αὐτοῖς ἡγοῦνται. Ὅτι δὲ ἐμὲ ἂν ἀναντιωθῆναί μοι δοκεῖ τῇ πράξει ταύτῃ νῦν Ἀρτεμισία, τῆς πόλεως οὔσης ἐπὶ τοῖς πραγμάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτε ὀρθῶς ἐγὼ λογίζομαι ταῦτα, εἴτε καὶ μή. Ἐγὼ νομίζω, πράττοντος μὲν ἀν Αἰγύπλῳ πάντα, ὅσ' ὥρμηκε, βασιλέως, σφόδρα ἂν Ἀρτεμισίαν πφαθῆναι φοβεῖσθαι Ῥόδον αὐτῷ· ἐκ τῆ βασιλέως εὐνοίας, ἀλλὰ τῷ βούλεσθαι, πλησίον αὐτῆς ἀφεστρίσθαι σκεῦος, μεγάλων ἐνεργεσίαν καταθέσθαι πρὸς αὐτὸν, ἵν' ὡς δικφύγοι αὐτὴν ἀποδέχοιτο. Πράττοντος δὲ, ἢ ὡς λέγεται, καὶ διημαρτηκότος, οἷς ἐπεχείρησεν, ἡγεῖται τὴν νῆσον ταύτην, ὅπερ ἐστίν, ἄλλο μὲν οὐδὲν εἶναι βασιλεῖ χρησίμου ἐν τῷ παρόντι, τῆς δὲ αὐτῆς ἀρχῆς ἐπιβούλισμα πρὸς τὸ μηδοτιοῦν παρακινεῖν. Ὥστε μοι δοκεῖ, μᾶλλον ἂν ὑμᾶς ἔχειν, μὴ φανερῶς αὐτῆς ἐνοχλῆσαι, ἢ σκεῦος λαβεῖν βούλεσθαι. Οἶμαι μὲν οὖν οὐ βοηθήσειν αὐτήν· ἂν δὲ ἄρα τοῦτο ποιῇ, φαύλως

κὴ κακῶς. Ἐπεὶ κὴ βασιλέα ὅ, τι μὴ ποτε ποιήσῃ, μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγε, ὡς οἶδα· ὅτι μὴ τοι συμφέρῃ τῇ πόλει δῆλον ἤδη γενέσθαι, πότερα ἀντιποιήσεται τῆς πόλεως τῶν Ῥοδίων, ἢ οὔ, ταῦτα ἂν ἰσχυρισαίμην· ὁ μὲν ὑπὲρ Ῥοδίων βελτύτερον, ἂν ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν, καὶ πάντων τῶν Ἑλλήνων; ὁ μὴν, ὁ σὶ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῆσαν ἂν ὑμῖν τύτυς ἐλέσθαι, ὁσὶ' εἰ πάντα ὑπῆρχεν ὑμῖν ποιήσειν. Ὁρῶ μὲν αὐτὺς τὸ μὲ πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν· ἐπειδὴ δὲ τῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τύτυς. Τὺς μὲν μηδετέροις πιστῶς κεχρημένυς, ὁσὶ' ἂν ὑμῖν βεβαίως ἡγοῦμαι γενέσθαι συμμάχυς. Καὶ ταῦτα ὁδέποτ' εἶπον ἂν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἠγούμην συμφέρειν· ὅτε μὲν πρόξενον τῶν ἀνδρῶν, ὅτε ἰδίᾳ ξένον αὐτῶν ὁδεὶς ἐσί μοι· οὐ μὴν, ὁσὶ' εἰ ταῦτα ἀμφότερα ἦν· εἰ μὴ ξυμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν. Ἐπεὶ Ῥοδίοις γε, εἰ οἷόν τε τῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαίρω τοῖς γεγενημένοις· ὅτι δοκιμάσασθ' τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες, τὴν αὐτῶν ἐλευθερίαν ἀπολωλέκασι, κὴ παρὸν αὐτοῖς Ἕλλησι κὴ βελτίοσιν ὑμῶν αὐτῶν ἐξ ἴσης συμμαχεῖν, βαρβάροις κὴ ὀλίοις, ὓς εἰς τὰς ἀκροπόλεις παρεῖναι, ὁλευθέρυσιν. Ὀλίγυ δὲ δέω λέγειν, ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς σωσενήνοχε ταῦτ' αὐτοῖς· ἓν μὲ γὰρ πράττοντες, οὐκ οἶσὶ' εἴποτ' ἓν φρονῆσαι ἐθέλησαν ὄντες Ῥόδιοι· ἔργῳ δὲ πεφευθέντες κὴ διδαχθέντες, ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰτία γίγνεται, τάχα ἂν εἰ τύχοιεν, συμφρονέστεροι

πρὸς

πρὸς τὸ λοιπὸν δ' χρόνον γένοιντο, τοῦτο ἡ μικρὸν αὐτοῖς ὠφέλημα ἡγοῦμαι. Φημὶ δὴ χρῆναι πρᾶξαι σώζειν τοὺς ἄνδρας, καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους, ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπατήσθε, ὧν ἑκόντες αὐτοὶ δίκην δοῦναι δίκαιον ἂν εἶναι φήσαιτε. Ὁρᾶτε δὴ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πεπολεμήκατε, πολέμους, καὶ πρὸς δημοκρατίας, καὶ πρὸς ὀλιγαρχίας. Καὶ τοῦτο ἴσε μὲν καὶ αὐτοί· ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν ἑκάστοις λογίζεται. Ὑπὲρ τίνων δ' ἐστί; πρὸς μὲν τοὺς δήμους, ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, ἃ διωκηθέντων δημοσίᾳ καλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους, ἢ ὅρων, ἢ φιλοτιμίας, ἢ τῆς ἡγεμονίας. Πρὸς δὲ τὰς ὀλιγαρχίας, ὑπὲρ μὲν τούτων, ἑκάστοις, ὑπὲρ δὲ τῆς πολιτείας, καὶ τῆς ἐλευθερίας. Ὥστε ἔγωγε σοὶ ἂν οὐκ αἰσχυναίμην εἰπεῖν, μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ὑμῖν, ἢ ὀλιγαρχουμένους φίλους εἶναι. Πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας καὶ χαλεπῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε· πρὸς τοὺς ὀλιγαρχουμένους δὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω. καὶ γὰρ ἔστ' ὅπως ὀλίγοι πολλοῖς, καὶ ζητοῦντες ἄρχειν, τοῖς μετ' ἰσηγορίας ζῆν ἠρημένοις εὖνοι γένοιντ' ἄν. Θαυμάζω δὴ, εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χίων ὀλιγαρχουμένων, καὶ Μιτυληναίων, καὶ νυνὶ Ῥοδίων, καὶ πάντων ἀνθρώπων ὀλίγου δεῖν λέγω, εἰς ταύτην τὴν θαλείαν ὑπαγομένων, ζυγκινδυνεύειν τι τὴν παρ' ὑμῖν πολιτείαν· μὴ δὴ λογίζεται τοῦθ', ὅτι σοὶ ἔστιν ὅπως, εἰ δ' ὀλιγαρχίας ἅπαντα ζυσήσεται, τὰ παρ' ὑμῖν δῆμον ἑάσουσιν. Ἴσασι γὰρ ἑκάστοις ἄλλως πάλιν εἰς

ἐλθυθερίαν τὰ πράγματ' ἂν ἐπανάξοντας· ὥθεν
δὴ κακὸν ἀυτοῖς ἄν τι γενέαθ προσδοκῶσι, τύτυς
ἀνελεῖν βελήσονται. Τὺς μὲ ὖν ἄλλυς τὺς ἀδικῆν-
τάς τινας ἀυτῶν τ κακῶς πεπονθότων ἐχθρὺς ἡ-
γεῖαθ χρῆ· τὺς ὃ τὰς πολιτείας καταλυόντας, κ
μεθισάντας εἰς ὀλιγαρχίαν, κοινὺς ἐχθρὺς παρα-
νῶ νομίζειν πάντων τ ἐλθυθερίας ἐπιθυμύντων.
Ἔπ̓ετα κ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρα-
τυμένυς ἀυτὺς τοιαῦτα φρονῦντας φαίνεαθ ὠφε
τ ἀτυχύντων δήμων, οἷα τὺς ἄλλυς ἀξιώσετε φρο-
νεῖν ὠφε ὑμῶν, εἴποτε, ὃ μὴ γένοιτο, τοιῦτό τι
συμβαίη· κ γὰ, εἰ δίκαιά τις ἂν φήσαι Ῥοδίυς
πεπονθέναι, ὀκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι.
Δεῖ γὰ τὺς εὐτυχῦντας ὠφε τ ἀτυχύντων ἀεὶ
φαίνεσθαι βελθυομένυς τὰ βέλτισα· ἐπιδήπε
ἄσθλον τὸ μέλλον ἅπασιν ἀνθρώποις. Ἀκύω δ
ἔγωγε πολλάκις ἐνταυθοῖ παρ' ὑμῖν τινων λεγόν-
των, ὡς ὅτε ἠτύχησεν ἡ πόλις ἡμῶν, ξυνεβυλεύ-
θησάν τινες ἀυτὴν σωθῆναι· ὧν ἐγὼ μόνον Ἀργεί-
ων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι· ὃ γὰ
ἂν ἡμᾶς βελόιμην δόξαν ἔχοντας ὦ σώζειν τὺς ἀ-
τυχήσαντας ἀεί, χείρυς Ἀργείων ἐν ταύτῃ τῇ
πράξι φανῆναι. Οἱ χώραν ὅμορον τῇ Λακεδαιμο-
νίων οἰκῦντες, ὁρῶντες ἐκείνυς γῆς κ θαλάτ̓ης ἄρ-
χοντας, ὀκ ἀπώκνησαν, ὐδ' ἐφοβήθησαν ἐυνοι-
κῶς ὑμῖν ἔχοντες φανῆναι, ἀλλὰ κ πρέσβεις ἐλ-
θόντας ἐκ Λακεδαίμονος, ὡς φασιν, ἐξαιτήσαν-
τάς τινας τ φυγάδων τ ὑμετέρων ἐψηφίσαντο,
ἐὰν μὴ πρὸ ἡλίυ δύνυ ἀπαλλάττωνται, πολεμί-
υς κρίνειν· εἶτα ὀκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ
τὸ μὲ Ἀργείων πλῆθος ὀκ ἐφοβήθη τὴν Λακε-
δαιμονίων

δαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς, ὅτε τὴν
ῥώμην ὑμεῖς ὄντες Ἀθηναῖοι βάρβαρον ἄνθρω-
πον, καὶ ταῦτα γυναῖκα, φοβηθήσεσθε; καὶ μήν,
οἱ μὲν ἔχοιεν ἂν εἰπεῖν, ὅτι πολλάκις ἡττηνται ὑπὸ
Λακεδαιμονίων· ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις
βασιλέα· ἥττησθε δὲ ἅπαξ, ὅτε τοῦ ἁλῶναι
βασιλέως, ὅτε αὐτὸς ἐκείνου. Εἰ γὰρ τοίνυν καὶ κε-
κράτηκε τῆς πόλεως βασιλεὺς, ἢ τοὺς πονηροτά-
τους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πεί-
σας, ἢ ἀδαμῶς ἄλλως κεκράτηκε· καὶ ἀδὲ τοῦτο
αὐτῷ συνενήνοχεν, ἀλλὰ μὴν εὑρήσεις αὐτὸν, τήν τε
πόλιν μὲν Λακεδαιμονίων ἀθενῆ ποιήσαντα, καὶ
τοῦ αὐτοῦ βασιλείας κινδυνεύσαντα πρὸς Κλέ-
αρχον, καὶ Κύρον· ὅτ' ἂν δὲ φανερὸς κεκράτηκεν,
ὅτ' ἐπιβουλεῦσαι ξυνενήνοχεν αὐτῷ. Ὁρῶ δ' ὑ-
μῶν συνίους Φιλίππου μὲ ὡς ἄρα ἀδενὸς ἀξίου πολλά-
κις ὀλιγωρήσαντας, βασιλέα δ' ὡς ἄρα ἰσχυρὸν ἐχ-
θρὸν, οἷς ἂν προέλῃ πολεμεῖν, φοβερμένους· εἰ δὲ τ
μὲ ὡς φαῦλον οὐκ ἀμυνώμεθα, τῷ δ' ὡς φοβε-
ρῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας, ὦ ἄνδρες Ἀθηναῖ-
οι, παρατάξόμεθα; Εἰσὶ δέ τινες οἱ παρ' ἡμῖν δει-
νότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς·
οἷς παραινέσαιμι ἂν ἐγωγε τοσοῦτον μόνον ὑπὲρ
ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν'
αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες.
Ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν,
αὐτὸν δὲ δίκαια ποιοῦντα· οὐ γάρ ἐστι δίκαιον ὕβρει
πολίτην τοὺς καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπερ
ὑμῶν ἐσκέφθαι. Φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί
δήποτε ἐν Βυζαντίῳ ἀδεὶς ἔθ' ὁ διδάσκων ἐκείνους
μὴ καταλαμβάνειν Χαλκηδόνα, ἢ βασιλέως μὲν

ἐστιν,

ἐστιν, εἴχετε σὺ' ὑμεῖς αὐτὴν, ἐκεῖνοις σὺ' ἐδαμῶ
προσῆκε; μὴ γὰρ Συλημβρίαν, πόλιν ὑμετέραν πο
ξύμμαχον οὖσαν, ὡς αὐτὸς σωτελῆ ποιεῖν, καὶ Βυ
ζαντίους ὁρίζειν τὴν τούτων χώραν παρὰ τὰς ὅρκους
τὰς Χαιδήκας, ἐν αἷς αὐτονόμους εἶναι γέγραπ
ὐδὲ Μαυσώλῳ ζῶντι, ἐδὲ τελευτήσαντι ἐκε
νῳ, τὴν Ἀρτεμισίαν ἐδεὶς ἔσχ' ὁ διδάξων, μὴ κα
ταλαμβάνειν Κοῦς καὶ Ῥόδον, καὶ ἄλλας πόλεις ἑτέρα
Ἑλλησίδας, ὧν καὶ βασιλεὺς ὁ ἐκείνων δεσπότης ὁ
ταῖς συνθήκαις ἀπέχει τοῖς Ἕλλησι, καὶ ταῦτ' ἀ
πολλοὺς κινδύνους, καὶ καλοὺς ἀγῶνας οἱ καθ' ἐκεῖνο
τοὺς χρόνους Ἕλλωες ἐποιήσαντο; εἰ σὺ' ἄρα καὶ λε
γέ τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οὔγε πρόσθεν
τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν. Ἐγὼ γὰρ δίκαιον μὲ
εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· ἐ μὴν
ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν ὅτα
βλέψω, προσῆκεν οἶμαι παραινέσαι κατάγειν. Διὰ
τί; ὅτι πάντων μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια
ποιεῖν ὠφελιμώτατον, αἰσχρὸν ὑμᾶς μόνους μὴ ἐθέλειν
ἁπάντων καὶ τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται πα
ρασκευαζομένων, μόνους ὑμᾶς τὰ δίκαια προτεί
νεσθαι, μηδενὸς ἀντιλαμβανομένους, ἐ δικαιοσύνην
ἀλλ' ἀνανδρίαν ἡγεῖσθαι· ὁρῶ γὰρ ἅπαντας προσ
τὴν παροῦσαν δύναμιν καὶ τὰ δίκαια ἀξιοῦντας· καὶ
παράδειγμα τοῦτο λέγειν ἔχω πᾶσιν ὑμῖν γνώρι
μον. Εἰσὶ Χαιδήκαι δίκαιαι τοῖς Ἕλλησι πρὸς βα
σιλέα, ἃς ἐποιήσαθε ἡ πόλις ἡ ὑμετέρα, ἃς ἅπαν
τες ἐγκωμιάζουσι· καὶ μὴν τοῦτο ὕστερον Λακεδαι
μόνιοι, ταύτας ὧν δὴ κατηγοροῦσι· κἂν ταύταις
ἐχὶ ταὐτὰ δίκαια ἀμφοτέροις ὥρισαι· τὰ μὲν γὰρ
ἰδίων δίκαια τὰ ἐν ταῖς πολιτείαις οἱ νόμοι κοι-

καὶ τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀθένεσι, καὶ τοῖς ἰσχυροῖς· τοὺς δὲ Ἑλλωικῶν δικαίων οἱ κρατοῦντες ὁρισαὶ τοῖς ἡτίοσι γίνονται. Ἐπισθὴ τοίνυν ὑμῖν ἐγνακέναι τὰ δίκαια καὶ ποιεῖν ὑπάρχῃ, ὅπως καὶ πρᾶξαι ταῦτα ἐφ' ὑμῖν ἔσαι, δεῖ σκοπεῖν· ἔσαι δ' ταῦτα, ἐὰν ὑπολημφθῆτε κοινοὶ προστάται τῶν πάντων ἐλευθερίας εἶναι. Εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. Τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις εἰς ἀγὼν ἐστιν, ὁ πρὸς τοὺς προδήλους ἐχθρούς· ὧν ἐὰν κρατήσωσιν, ὑδὲν ἐμποδὼν αὐτοῖς κυρίοις τῶν ἀγαθῶν εἶναι· ὑμῖν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δύο· ὅτός τε ὁ καὶ τοῖς ἄλλοις· καὶ πρόσεσθ' ἕτερον τούτου πρότερον καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βελτιομήσας κρατῆσαι τῶν τἀναντία τῇ πόλει παρ' ὑμῖν πράττειν προῃρημένων. Ὅταν δὲ μηδὲν ἧσσον τούτους ἀκριτὶ τῶν δεόντων γενέσθαι, πολλῶν ἁμαρτάνειν ὑμᾶς εἰκότως συμβαίνει. Τῶν μὲν τοίνυν πολλοὺς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ παρὰ τῶν μισθοδοτῶν αὐτοῖς ὠφέλειαι μάλιστ' αἴτιαι· ἐμοὶ μὲν, ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. Ἔχρην γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῶν ἐν τῇ πολιτείᾳ τάξεως, ἥνπερ περὶ τῶν ἐν στρατείᾳ τάξεως ἔχετε. Τίς γὰρ ἐστιν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τῷ στρατηγῷ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε προσήκειν εἶναι, καὶ μηδενὸς τῶν κοινῶν μετέχειν· χρὴ τοίνυν καὶ τὸν τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην λιπόντας, καὶ πολιτευομένους ὀλιγαρχικῶς, ἀτίμους τῷ συμβουλεύειν ὑμῖν αὐτοῖς ποιεῖσθαι. Νῦν δ' τοὺς μὲν συμμαχοῦντας τοὺς αὐτοὺς, ἐχθροὺς καὶ φίλους ἕξειν ὑμῖν ὁμωμοκότας,

μοκότας, νομίζετε ἐυνοϛάτους· τ̃ ὴ πολιτδυομένω
ὃς ἴϛε, σαφῶς τὺς τ̃ πόλεως ἐχθροὺς ἠρημένους
τούτους πιϛοτάτους ἡγεῖσθε. Ἀλλὰ γὰρ ὐχ ὁ, τι τι
κατηγορήσ τούτων, ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξ
χαλεπὸν ἐυρεῖν· ἀλλ' ἀφ ὁποίων λόγων, ἢ ποία
πράξεως ἐπανορθώσεταί τις ἃ νῦν ὸϛι ὀρθῶς ἔχε
τοῦτ' ἔργον ἐυρεῖν. Ἴσως ὃν, ὰ ὴ ϐ παρόντος κα
ρῦ ϖϐὶ πάντων λέγειν· ἀλλ' ἐὰν ἃ προήρησθε, ὁ
νησθε ἐπικυρῶσαι σκμφερούσῃ τινὶ πράξ· κ τάλ
ἂν ἴσως καὶ ἐν ἂν βέλτιον χοίη. Ἐγὼ μ̃ ὃν ο
μαι δ̃εῖν ὑμᾶς ἀντιλαμϐάνεσθ τούτων τ̃ πραγ
μάτων ἐρρωμένως, κ πράττειν ἀξια τ̃ πόλεως· σ
θυμουμένους, ὁτι χαίρετε ἀκούοντες, ὁταν τις ἐπαι
νῇ τὺς προγόνους ὑμῶν, κ τὰ πεπραγμένα ἐκείνοι
διεξίῃ, κ τὰ πρόπαια λέγῃ· νομίζετε τοίνυν ταῦ
τα ἀναδ̃εῖναι τὺς προγόνους ὑμῶν, ὐχ ἵνα θαυ
μάζητε ταῦτα θεωροῦντες μόνον, ἀλλ' ἵνα κ μι
μῆσθε τὰς τ̃ ἀναδ̃έντων ἀρετάς.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ὁ περὶ τῶν Μεγαλοπολιτῶν

ΛΟΓΟΣ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας, εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων, καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς. Ὕστερον δὲ Λακεδαιμόνιοι τὸν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύναμιν, ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο· καὶ τοὺς Ἀθηναίους παρεκάλουν ἀφ' πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου· πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. Ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ βοηθεῖν αἱρεθεῖσαν Μεγάλην πόλιν, μὴ δὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους· συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

ΑΜφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι, καὶ οἱ τοῖς Λακεδαιμονίοις συνφρονοῦντες. Ὥσπερ γὰρ ἀφ' ἑκατέρων ἥκοντες, οὐχ ἡμῶν

ἡμῶν ὄντες πολῖται, πρὸς ἃς ἀμφότεροι πρεσβεύονται, κατηγορῆσι καὶ διαβάλλουσιν ἀλλήλους· ἢ οὐ τοῦτο μὲν τὸ ἀφιγμένων ἔργον· τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν, καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνδρ' φιλονεικίας, τοῦ ἐνθάδε συμβουλεύοντος ἀξιώτατον· νῦν δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκειν, καὶ τὸ τῇ φωνῇ λέγειν Ἀττικῶς, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκάδας, τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι· ἐγὼ δὲ, ὁρῶ μὲν ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστί· ζωντεξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μὲν ταυτὶ βουλομένων, τῶν δὲ ταυτί, ἐν τὰ μεταξύ τις ἐγχέῃ λέγων, καὶ ὑμεῖς μὴ προμείνητε μαθεῖν· χαριεῖται μὲν ἑτέροις, ἁλώσεται δὲ πρὸς ἀμφοτέρους· ἐγὼ μὲν, ἀλλ' αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν, ἢ περ ἃ βέλτιστα νομίζω τῇ πόλει, πεισθέντες τισὶν ὑμᾶς ἐξαπατῆσαι. Τὰ μὲν δὴ ἄλλα ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ, λέξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι, ἃ κράτιστα νομίζω διδάσκειν. Οὐκοῦν, ἐμοὶ μὲν εἰς ἀντειπὼν, ἅπερ συμφέρει τῇ πόλει, καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι, καὶ Θηβαίους τοσούσδε. Ἔστι τοίνυν ἐν τινι καιρῷ τοιούτῳ τὰ πράγματα νῦν, εἶτι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ' ὑμῖν λόγοις τεκμήρασθαι ὡς ἐστὶ Θηβαίους μὲν Ὀρχομενοῦ, καὶ Θεσπιῶν, καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γενέσθαι· Λακεδαιμονίους δὲ, εἰ ποιήσονται Ἀρκαδίαν ὑφ' ἑαυτοῖς, καὶ Μεγάλην πόλιν αἱρήσουσι, πάλιν ἰσχυρὰς γενήσεσθαι· Σκεπτέον τοίνυν, μὴ πρότερον τοὺς δὲ γενέσθαι φοβερὸς καὶ μεγάλους ἐάσωμεν, ἢ σμικροὶ μικροὶ γενήσονται· καὶ λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λακεδαιμόνιοι

δαιμόνιοι γενόμθοι, ἢ ὅσῳ τὰς Θηβαίας ἐλάττ|ας συμφέρῃ γενέσθ. ὃ γὰ ἐκεῖνό γ' ἂν εἴποιμθ, ὡς ἀνταλλάξασθε βελοίμεθα ἀντιπάλας Λακεδαιμονίας ἀντὶ Θηβαίων· ὧδε τᾶτ' ἔσθ' ὃ σπεδάζομθ, ἀλλ' ὅπως μηδέτεροι δυνήσον᾽ μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰ ἂν ἡμεῖς μ᾽ πλείσης ἀδείας εἴημθ. Ἀλλὰ νὴ Δία, ταῦτα μὲ ἔστω δεῖν ἔχ᾽ν φήσομθ· δεινὸν ᾽, εἰ πρὸς ἓς παρεστ|όμεθα ἐν Μαντινείᾳ, τᾶτας συμμάχους αἱρησόμεθα· εἶτα βοηθήσομθ τᾶτοις ἐναντία ἐκείνοις, μεθ' ὧν τότε ἐκινδυνεύομθ, καί μοι ταῦτα δοκεῖ προσδεῖσθαι δέ τι ᾽ τὰ δίκαια ποιεῖν ἐθελόντων τ̃ ἑτέρων. Εἰ μ̃ τοίνυν ἐθελήσασι πάντες εἰρήνην ἄγ᾽ν, ὁ βοηθήσομθ τοῖς Μεγαλοπολίταις· ὧδεν γὰ δεήσ᾽. Ὥστε ὁδοτιοῦν ὑπεναντίον ὑμῖν ἔσαι πρὸς τὰς συμπαραταξαμθύας σύμμαχοι δ᾽ ἡμῖν οἱ μ̃ ὑπάρχασιν, ὡς φασιν, οἱ ᾽, προσγενήσονται νυνί· κ᾽ τί ἂν ἄλλο βελοίμεθα; ἐὰν ᾽ ἀδικῶσι κ᾽ πολεμεῖν οἴονται δεῖν, εἰ μ̃ ὑπὲρ τᾶτα μόνον βελθυτέον, εἰ χρὴ Μεγάλην πόλιν ἡμᾶς προέσθ Λακεδαιμονίοις, ἢ μή· δίκαιον μὴ ὄ· συ|χωρῶ δ᾽ ἔγωγ' ἐᾶσαι, κ᾽ μηδὲν ἐναντιωσθῆναι τοῖς τότε τ̃ αὐτῶν μεταχ̃σι κινδύνων. Εἰ δ᾽ ἅπαντες ἐπίσασθε ὅτι ταύτ᾽ ἂν ἔλωσιν ἴασιν ἐπὶ Μεσσήνην· φρασάτω τις ἐμοὶ τ̃ νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβελεύσ᾽ ποιεῖν; ἀλλ' ὧδείς ἐρεῖ. Καὶ μὴν πάντες ἐπίσασθε, ὡς, κ᾽ παραινέντων τᾶτων, κ᾽ μὴ, βοηθητέον, κ᾽ ἅμ᾽ τὰς ὅρκους, ὃς ὀμωμόκαμθ Μεσσηνίοις, κ᾽ ἅμ᾽ τὸ συμφέρον εἶναι κατοικεῖσ᾽ ταύτ᾽ν τὴν πόλιν. Σκοπ|εῖσθε δὴ πρὸς ὑμᾶς αὐτὰς, ποτέραν τὴν ἀρχὴν καλλίονα κ᾽ φιλανθρω-

ποτέραν ποιήσεσθε. Ἢ μὴ ἐπιτρέπειν ἡμᾶς ἀδικεῖν Λακεδαιμονίοις, τὴν ὑπὲρ Μεγάλης πόλεως, ἢ τὴν ὑπὲρ Μεσσήνης. Νῦν μὲν γε, βοηθεῖν δόξετε Ἀρκάσι, καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς κινδυνεύσατε καὶ παρετάξασθε· τότε δ' εὐθὺς πᾶσιν ἔσεσθε, ἃ δ' δικαίως μᾶλλον ἕνεκα Μεσσήνης εἶναι βέλομαι, ἢ διὰ πρὸς Λακεδαιμονίους φόβον. Δεῖ δὴ σκοπεῖν μὲν ἀεὶ καὶ πράττειν τὰ δίκαια, συμπαρατηρεῖν δὲ, ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα. Ἔστι τοίνυν καὶ τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομισάσθαι τ' Ὠρωπὸν ὑμᾶς εἰρήνης δεῖ. Εἰ δή τις βοηθήσοντας ἂν ἡμῖν, ἐχθρὸς ἐπ' αὐτὸν νῦν κτησόμεθα, οὐκ ἔξομεν συμμάχους. Ἐγὼ δή, τὸ μὲν κομισάσθαι Ὠρωπὸν πράττεσθαί φημι δεῖν καὶ αὐτός· τὸ δ' ἐχθρὸς ἡμῖν ἔσεσθαι Λακεδαιμονίους νῦν, ἐὰν ποιησώμεθα συμμάχους Ἀρκάδων τοὺς βελομένους ἡμῖν εἶναι φίλους μόνοις δὴ εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν ἡμᾶς, ὡς κινδυνῶδες Λακεδαιμονίοις, βοηθεῖν αὐτοῖς· οἱ γὰρ ταῦτα λέγοντες ἔπεισαν ὑμᾶς, πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς, καὶ μεθ' ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, τοῦτο μὲν, μὴ προσδέξασθαι· καὶ νῦν τοῦθ' ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον· ὑπὲρ ὧν τ' Λακεδαιμονίων σωτηρίας, καὶ χρήματα εἰσφέρειν, καὶ τοῖς σώμασι κινδυνεύειν. Καί τοι, δοκεῖ ἂν ὑμῖν ἠθελήσατε δῆπου σώζειν αὐτούς, εἰ τοῦτο πρόλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιεῖν, ὅ, τι βάλονται, πάλιν αὐτοὺς ἕξετε, καὶ ἀδικεῖν, δημοσίαν χάριν ὑμῖν ἔξουσι τ' σωτηρίας· καὶ μὴν εἰ καὶ σφόδρα ἐναντίοι ἐσὶ τοῖς Λακεδαιμονίων ἐπιχειρήμασι, τὸ τοὺς Ἀρ-

κάδας

κάδας ἡμᾶς συμμάχους ποιήσασθαι, προσήκ⸗
ὅπως πλέιω χάριν αὐτοῖς ἔχ⸗ν, ὧν ἐσώθησαν ὑφ᾽
ὑμῶν εἰς τὰς ἐσχάτας ἐλθόντες κινδύνους, ἢ ὧν ἀ-
δικεῖν κωλύονται νῦν, ὀργίζεσθαι. Ὥσε πῶς ἀ
βοηθήσουσιν ὑμῖν ἐπ᾽ Ὠρωπὸν; ἢ κάκιστοι πάντων
ἀνθρώπων δόξουσιν εἶναι· ὦ, μὰ τὰς θεὰς, ἔγωγε
οὐχ ὁρῶ. Θαυμάζω τοίνυν τ̃ λεγόν⸗αν τ̃ λόγον
τοῦτον, ὡς εἰ συμμάχους ποιησόμεθα Ἀρκάδας, κ᾽
ταῦτα πράξομ⸗, μεταβάλλεσθαι δόξ⸗, κ᾽ οὐδὲν
ἔχ⸗ν πιστὸν ἡ πόλις. Ἐμοὶ γ᾽ δοκεῖ τἀναντίον, ὦ
ἄνδρες Ἀθηναῖοι. Διὰ τί; ὅτι τ̃ ἁπάντων ἀδίκω
ἀντιπεῖν οἶμαι, ὡς ἀ κ᾽ Λακεδαιμονίους, ⊂ πρό-
τερον Θηβαίους, κ᾽ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν
ἡ πόλις, κ᾽ μ̃ ταῦτα συμμάχους ἐποιήσατο, ἵν
τι κ᾽ τὸ αὐτὸ ἀεὶ βελομ⸗ν πράττ⸗ιν. Ἔσι γ᾽ τ̃-
το τί; τοὺς ἀδικουμ⸗νους σώζ⸗ν. Εἰ τοίνυν τ̃θ᾽ ἕ-
τως ἔχ⸗, οὐκ ἔτ᾽ ἂν ἡμεῖς εἰημ⸗οι μεταβαλλό-
μ⸗νοι, ἀλλ᾽ οἱ μὴ θέλοντες τοῖς δικαίοις ἐμμ⸗ίν⸗ν.
Καὶ φανήσεται τὰ πράγματα ἀ⸗ὶ τοὺς ἀεὶ πλε-
ονεκτεῖν βελομ⸗νους μεταβαλλόμ⸗να, οὐχ ἡ πόλις
ἡμῶν. Δοκεῖτ᾽ δέ μοι Λακεδαιμόνιοι μάλα δει-
νῶν ἔργον ἀνθρώπων ποιεῖν. Νυνὶ γάρ φασιν οἰκεῖ-
οι δεῖν, Ἠλείους μ̃ τ̃ Τριφυλίας τινὰ κομίσασ-
θαι· Φλιασίους γ᾽ τὸ Τρικάρανον· ἄλλους δέ τινας
τ̃ Ἀρκάδων τὴν αὐτῶν· κ᾽ τ̃ Ὠρωπὸν ἡμᾶς. Οὐχ
ἵνα ἑκάστους ἡμῶν ἰδώσιν ἔχοντας τὰ ἑαυτῶν· οὐδὲ
ὀλίγ⸗ δεῖ· οὐδὲ γ᾽ ἂν φιλάνθρωποι γεγονότες εἶεν·
ἀλλ᾽ ἵνα πᾶσι δοκῶσι συμπράττ⸗ιν, ὅπως ἂν ἕκα-
στοι κομίσωνται ταῦθ᾽, ἃ φασιν αὐτῶν εἶναι· ἵν᾽
ἐπιδᾶν ἴωσιν ἐπὶ Μεσσήνην κ᾽ αὐτοὶ, συστρατεύσ⸗αι
πάντες αὐτοῖς ἕτοι, κ᾽ βοηθῶσι προθύμως, ἢ δο-

κῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐ-
τῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ τὴν ὁ-
μοίαν ἀυτοῖς χάριν ἀποδιδόντες. Ἐγὼ δ' νομίζω
τὴν πόλιν πρῶτον μὲν κ) χωρὶς ἅπ καθυφεῖναι Λα-
κεδαιμονίοις, τινὰς Ἀρκάδων Ὠρωπὸν ἂν κομί-
σασθαι, κ) μετ' ἐκείνων, ἂν τὰ δίκαια ποιεῖν ἐ-
θέλωσι, βοηθέντων, κ) μὴ τ' ἄλλων τ' ἐστὶ οἰο-
μένων δεῖν Θηβαίους ἐὰν ἔχῃ τὰ ἀλλότρια. Εἰσὶ
ἄρα τοῦτ' εὐδηλον ἡμῖν γένοιτο, ὅτι μὴ Λακεδαι-
μονίους ἐῶντες τὴν Πελοπόννησον καταιρέψασθαι,
οὐκ οἷοί τε ἐσόμεθα Ὠρωπὸν λαβεῖν, αἱρετώτερον
ἐι οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τ' Ὠρωπὸν ἐᾶν, ἢ Λα-
κεδαιμονίοις Μεσσήνην προέσθαι κ) Πελοπόννησον.
Οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνον ὑμῖν εἶναι τ'
λόγον πρὸς ἐκείνους· ἀλλ' ἐάσω τόγε ἐπελθὸν εἰ-
πεῖν μοι· περὶ πολλῶν σοὶ ἂν οἶμαι κίνδυνον ὑμῖν
γενέσθαι. Ἀλλὰ μὴν, ἄγε φασὶ πεπρᾶχθαι δί-
Θηβαίους τοῖς Μεγαλοπολίταις ὑπεναντίως πρὸς ὑμᾶς,
ἄτοπον νῦν μὲν ἐν κατηγορίας μέρει ποιεῖσθαι
βουλομένων ἢ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναν-
τίον εὖ ποιῶσιν ὑμᾶς βασκαίνειν κ) σκοπεῖν, ἐξ ὅτου
τρόπου μὴ γενήσονται· κ) μὴ γιγνώσκειν, ὅτι ὅσῳ
ἂν σπουδαιοτέρους τούτους περὶ Θηβαίους γεγενημέ-
νους ἀποδείξωσι, τοσούτῳ πλείονος ὀργῆς αὐτοὶ δι-
καίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν
πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον, ἢ Θηβαίους,
ἀπεσέρησαν. Ἀλλ' οἶμαι ταῦτα μὲν ἐσι δεύτερα
ἀνθρώπων βουλομένων ἑτέρων ποιῆσαι τούτους συμ-
μάχους. Ἐγὼ δ' ὅσα ἂν ἐκ λογισμοῦ σκοπῶν τις
εἰκάσαι, κ) τοὺς πολλοὺς ὑμῶν οἶμαι ταῦτα φῆσαι,
ὅτι εἰ λήψονται Μεγάλῃ πόλιν Λακεδαιμονίοις,

κινδυνεύσ[ει]

κινδυνεύσῃ Μεσσήνη. Εἰ ὴ κὴ ταύτῃ λήψονται, φημὶ ὑμᾶς ἔσεσθ̃ συμμάχους Θηβαίων. Πολὺ δὴ κάλλιον κὴ ἀμφότερον, τὴν Θηβαίων συμμαχίαν αὐτὸς παραλαβεῖν, τ̃ῇ ὴ Λακεδαιμονίων πλεονεξίᾳ μὴ ἐπιτρέπῃν· ἢ νῦν ἐκκόπτοντας μὴ τὸς Θηβαίων σώσωμεν συμμάχους, τούτους μὲ προέσθ̃, πάλιν ὴ σώζῃν αὐτὸς τὸς Θηβαίους, κὴ προσέτι ἐν φόβῳ καθεστάναι περὶ ἡμῶν αὐτῶν. Οὐ γὰρ ἔγωγε ἀδεὲς τ̃τ' ὑπολαμβάνω τ̃ῇ πόλῃ, τὸ λαβεῖν Μεγάλην πόλιν Λακεδαιμονίους, κὴ πάλιν γενέσθ̃ μεγάλους. Ὁρῶ γὰρ αὐτὸς κὴ νυνὶ, ἐχ ὑπὲρ ὃ μὴ παθεῖν τι κακὸν πολεμοῦντας, ἀλλ' ὑπὲρ ὃ κομίσασθ̃ τὴν πρότερον ὄσαν ἑαυτοῖς δύναμιν. Ὧν δὴ ὅτ' ἐκείνην εἶχον ἀφῃροῦντο, ταῦθ' ὑμεῖς μᾶλλον ἴσως εἰδότες, ἢ ἐγὼ, φοβοῖθ' ἂν εἰκότως. Ἡδέως δ' ἂν πυθοίμην τ̃ λεγόντων, κὴ τὸς Θηβαίους μισεῖν φασκόντων κὴ τὸς Λακεδαιμονίους· πότερα δὴ ἑκάτεροι μισοῦσιν, ὃς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν κὴ ὃ συμφερόν⊙ ὑμῖν, ἢ ὑπὲρ μὲ Λακεδαιμονίων Θηβαίους, ὑπὲρ ὴ Θηβαίων Λακεδαιμονίους, ἑκάτεροι; εἰ μὲ γὰρ ὑπὲρ ἐκείνων, ἀδετέροις ὡς μαινομένοις πειθ̃θ̃ προσήκῃ· εἰ δ' ὑπὲρ ἡμῶν φήσουσι, τί πέρα ὃ καιρὸ τὸς ἑτέρους ἐπαίρουσιν; ἔστι γὰρ, ἔστι Θηβαίους ταπεινὸς ποιεῖν, ἄνδρ ὃ Λακεδαιμονίους ἰσχυροὺς καθεστάναι· κὴ πάνυγε ῥᾴδιον, ὡς δ' ἐγὼ πφράσομαι πρὸς ὑμᾶς εἰπεῖν. Ἴσμεν ἅπαντες τ̃τ', ὅτι τὰ μὲ δίκαια πάντες, ἐὰν κὴ μὴ βέλωνται, μέχρι γ' ὃ ἀισχύνης μὴ πράττῃν· τοῖς ὴ ἀδίκοις ἐναντιοῦσθ̃αι φανερῶς. Ἄλλως τε κἄντινες βλάπτωνται, κὴ τ̃το, τὸ λυμαινόμενον πάνδ' εὑρήσομεν, κὴ ταύτῃ ἀρχὴν ὄσαν πάντων τ̃ κακῶν, τὸ μὴ θέλειν τὰ δίκαια πράττῃν ἁπλῶς. Ἵνα τοίνυν μὴ τ̃το ἐμποδὼν γένηται, τὸ, τὸς Θη-

βάιως γενέαλ μικρὰς, τὰς μὲ Θεσπιὰς, κὴ τ' Ὀρχομενὸν, κὴ τὰς Πλαταιὰς κατοικίζεαλ φῶμὴ δεῖ· κὴ συμπράτ[illegible]ωμὴ αὐτοῖς, κὴ τὰς ἄλλας ἀξιῶμὴ· ταῦτα γὰ καλὰ κὴ δίκαια, μὴ φθειροῦσαν πόλις ἀρχαίας ἐξανες ὥσας· τὴν ὴ Μεγάλω πόλιν κὴ τὴν Μεσσήνω μὴ προώμεθα τοῖς ἀδικοῦσι· μὴ δ' ἐπὶ τῇ προφάσ[illegible] τῇ Θεσπιῶν κὴ Πλαταιῶν, τὰς ἴσας κὴ κατοικυμένας πόλις ἀναιρεθείσας φείδομὴ. Κἂν ἢ πρόδηλα ταῦτα, ἰδεὶς, ὅς τις ὁ βυλήσεται παύσεαλ Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν· εἰ ὴ μὴ, πρῶτον μὲ ἐναντίους ἐξόμὴ πρὸς ἐκείνα τούτους, εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων κατοίκησιν ἑαυτοῖς ὄλεθρον φέρφν, εἶτ' ἀνήνυτα πράγματα ἔξομὴ αὐτοί. Τί γὰ ὡς ἀληθῶς ἔσαι πέρας, ὅταν ἀεὶ τὰς μὲ ἴσας πόλις ἐῶμὴ ἀναιρεῖν, τὰς ὴ ἀνηρημένας ἀξιῶμὴ οἰκίζφν; Λέγουσι τοίνυν οἱ μάλισα δοκοῦντες δίκαια λέγφν, ὡς δεῖ τὰς σήλας καθελεῖν τὰς πρὸς Θηβαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι. Οἱ ὴ φασι μὲ αὐτοῖς ἐᾶν εἶναι σήλας, ἀλλὰ τὸ συμφέρον εἶναι τὸ ποιοῦν τὴν φιλίαν· τὰς ὴ βοηθοῦντας ἑαυτοῖς, τούτους νομίζφν εἶναι συμμάχους· Ἐγὼ δ' εἰ τὰ μάλισά εἰσι τοιοῦτοι, ὠδί πως ἔχω· φημὶ δεῖν ἅμα τούτους τε ἀξιοῦν καθαιρεῖν τὰς σήλας, κὴ Λακεδαιμονίους ἄφφν εἰρήνλω· ἐὰν ὴ μὴ ἐθέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μὴ θελόντων ἡμᾶς γίνεαλ. Εἶτε γὰ εἰρήνης γιγνομένης αὐτοῖς, οἱ Μεγαλοπολῖται ἔτι τ' Θηβαίων συμμαχίας ἔξονται, φανεροὶ δήπου πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θηβαίων, ὐ τὸ δίκαιον, αἱρούμενοι. Εἴτε συμμάχους ἀδόλως ἡμᾶς τ' Μεγαλοπολιτῶν ποιουμένων, μὴ ἐθελήσουσιν ἄφφν εἰρήνλω οἱ Λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσονται, ὐχ ἵνα Θεσπιαὶ κατοικιζῶσι

κιθῶσι ποιούμενοι τὴν σπουδήν, ἀλλ' ἵνα τ̃ πολέμου τούτου ἀφέλειαν κτήσ☞ Θηβαίοις, τὴν Πελοπόννησον ὑφ' ἑαυτοῖς ποιήσωνται. Θαυμάζω δ' ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται· εἰ δ' καταστρέψονται Λακεδαιμόνιοι τούτους αὐτούς, μηδὲν ἡγοῦνται φοβερόν· καὶ ταῦτ' ἔρξω πεῖραν ἡμῖν δεδωκότ☞ τ̃ χρόνου, ὅτι Θηβαῖοι μὲν τούτοις συμμάχοι ἐπὶ Λακεδαιμονίους ἀεὶ χρῶνται· Λακεδαιμόνιοι δ' ὅτ' εἶχον αὐτούς, ἐφ' ἡμᾶς ἐχρῶντο. Οἶμαι τοίνυν ἐγώ γε κἀκεῖνο ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας, ἐὰν μὲν ἀναιρεθῶσι καὶ διοικισθῶσιν, ἀχυροῖς Λακεδαιμονίοις εὐθὺς ἐσιν εἶναι. Ἐὰν δ' σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ' ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων δικαίως ἔσονται· ἐὰν δ' προσδέξησθε, τούτοις μὲν ἐπαμέρξῃ ἤδη σωθῆναι δι' ὑμᾶς· τὸ δ' συμβησόμενον καὶ τ̃ κινδύνου λογισμὸν μετενεγκόντες, σκοπῶμεν ἐπὶ Θηβαίων καὶ Λακεδαιμονίων· ἐὰν μὲν τοίνυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς δεῖ, οὐκ ἔσονται μείζους τ̃ δέοντ☞ οἱ Λακεδαιμόνιοι, τούτους ἔχοντες ἀντιπάλους τοὺς Ἀρκάδας ἐγγὺς οἰκοῦντας· ἐὰν δ' ἀνενέγκωσιν ἄρα οἱ Θηβαῖοι, καὶ σωθῶσι, καὶ μὴ πέσωσιν· ἀλλ' ἂν ἀσθενέστεροί γε ἔσονται, ἡμῖν συμμάχων γεγενημένων τ̃ δε, καὶ δι' ἡμᾶς σεσωσμένων. Ὥστε παντα χῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας, μήτε δι' αὐτούς, ἂν ἄρα σωθῶσι, φέλγεσθαι δοκεῖν, μηδὲ δι' ἄλλους τινάς, ἀλλὰ δι' ὑμᾶς. Ἐγὼ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον τοὺς Θεοὺς, ὅτε φιλῶν ἑτέρους, ὅτε μισῶν ἰδίᾳ, εἴρηκα· ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν, καὶ παραινῶ, μὴ προέσθαι Μεγαλοπολίτας, μηδ' ἄλλων ἁπλῶς μηδένα τ̃ ἐλαττόνων τῶν μείζονος.

ΔΗΜΟΣΘΕΝΟΥΣ
Ἀθηναίου Ῥήτορος
Ὀλυνθιακὸς Λ Ο Γ Ο Σ α΄

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ
Τῦ Ὀλυνθιακῦ πρώτυ Λόγυ.

Ὀλυνθος ἦν πόλις ἐπὶ Θράκης. Ἑλληνικὸν ἦ τὸ τὴ τ̃ συνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τ̃ ἐν Εὐβοίᾳ· ἡ ἦ Χαλκὶς Ἀθηναίων ἄποικος. Πολλοὶ ἦ πόλεμοι κ̀ ἔνδοξοι τ̃ Ὀλύνθυ. Ἀθηναίοις τε γ̀ ἐπολέμησεν ἄρχουσι τ̃ Ἑλλήνων τ̃ παλαιὸν, κ̀ αὖθις Λακεδαιμονίοις· χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, κ̀ τ̃ συγγενῶν πόλεων ὑπερεῖχεν. Ἦν γ̀ ἐπὶ Θράκης πολύ τι γένος Χαλκιδικὸν, Φιλίππῳ ἦ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, κ̀ πολεμοῦντες μετ' αὐτ̃ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχὰς, κ̀ τοῦτο μ̀ Ἀνθεμοῦντα παρὰ τ̃ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι κ̀ Ὀλυνθίοις· τοῦτο ἦ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων, ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν· ὕστερον ὑποπλεύσαντα ἤρξαντο τ̃ βασιλέα, ὁρῶντες αὐτ̃ ταχεῖαν κ̀ πολλὴν τὴν αὔξησιν, ὑ πιστὴν τὴν γνώμην. Ἀποδημοῦντα ἦ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους,

Αθηναίους, κατελύσαντο τὸ πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς ξυνθήκας τὰς πρὸς Φίλιππον. Συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Αθηναίους, καὶ ἂν ἄλλό τι δόξῃ, κοινῇ σπείσασθαι. Ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς ὁρμῶν, τότε δὲ ταύτην λαβών, ὡς τὰς συνθήκας παραβεβηκόσι, καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις, πόλεμον ἐπήνεγκεν. Οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Αθήνας, βοηθείας· οἷς ὁ Δημοσθένης συναγορεύσ, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις, καὶ φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν τῶν Αθηναίων εἶναι· σωζομένων γὰρ τῶν Ὀλυνθίων, ἐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Αθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν, κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον. Εἰ δὲ ὑπὸ Φιλίππῳ γένηται ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς Αθηναίους ὁδὸν τῷ βασιλεῖ. Φησὶ δὲ δυσμάχητον εἶναι τὸν Φίλιππον, οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Αθηναίους. Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων ποιῆσαι αὐτὰ στρατιωτικὰ ἀντὶ θεωρικῶν· καὶ τὸ ἔθος ὃ πρόσθεν ὂν, ᾧ ἐχρῶντο οἱ Αθηναῖοι, ἀνάγκη σαφηνίσαι. Οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἐκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπουδόντων, πληγαί τε ἐγένοντο, καί τις καὶ τραύματα. Τοῦτο κωλύσαι βεληθέντες οἱ προεστῶτες τῶν Αθηναίων, ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους. Καὶ ἔκαστον ἔδει διδόναι δύο ὀβολούς, καὶ καταβαλόντα θέαν ἔχειν. Ἵνα δὲ μὴ δοκῶσιν οἱ

πένητες

πένητες τῷ ἀναλώματι λυπεῖσθε, ὅτι δ' δημοσί
λαμβάνειν ἕκαστον ἐτάχθη τὰς δύο ὀβολούς· ἐν
τεῦθεν μὲν ἓν τὸ ἔθος ἤρξατο. Προῆλθε δ' εἰ
τοσοῦτον, ὥστε οὐκ εἰς τοῦτο μόνον ἐλάμβανον
ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα δι
νέμοντο, ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κα
έσησαν. Πάλαι μὲν γὰρ στρατεύόμενοι μισθὸ
παρὰ τοῦ πόλεως ἐλάμβανον· τότε δ' ἐν ταῖς θε
ωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες, διενέμοντ
τὰ χρήματα. Οὐκ ἔτι δ' ἦν ἥδιον ἐξιέναι καὶ κιν
δυνεύειν· ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶ
τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γρα
ψαντι μετατεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τα
ξιν, καὶ γενέσθαι στρατιωτικά. Διὸ ὁ Δημοσθέν
ευλαβῶς ἅπτεται περὶ τούτου συμβουλῆς· καὶ ὑπερμ
τήσας ἑαυτὸν, ὅτι σὺ γράφεις ταῦτα εἶναι στρα
τιωτικά; ἐπιφέρει, μὰ Δί' οὐκ ἔγωγε· τα
σαῦτα μὲν περὶ τῶν θεωρικῶν. Διείληκται δ' ὑ
ῥήτωρ ὁ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐ
τὸς στρατεύεσθαι, καὶ μὴ ἀφεῖναι ξένους, ὥσπερ εἰώ
θεσαν, ποιεῖσθαι τὴν βοήθειαν. τοῦτο γὰρ αἴτιο
εἶναι ἔφη τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

ΑΝΤΙ' πολλῶν ἂν, ὦ ἄνδρες Ἀθη
ναῖοι, χρημάτων ὑμᾶς ἐλέσθαι νο
μίζω, εἰ φανερὸν γένοιτο, τὸ μέλ
λον συνοίσειν τῇ πόλει, περὶ ὧν νυ
σκοπεῖτε· ὅτε τοίνυν τοῦθ' ὕστερος ἐγὼ
προσήκειν προθύμως ἐβουλόμην ἀκοῦσαι τῶν βελομένων συμ
βουλεύειν. Οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος
ἥκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε· ἀλλὰ κ
ὑμετέρα

ὑμετέρας τύχης ὑπολαμβάνω, πολλὰ τ δέοντων ὀκ
ἔ παραχρῆμα συνίοις ἂν ἐπελθεῖν εἰπεῖν. Ὡς ἐξ
ἁπάντων ῥαδίαν τὴν ἔ συμφέρονθ ὑμῖν αἵρεσιν
γενέσθ. ὁ μὲν δὴ παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι,
μονονυχὶ λέγει φωνὴν ἀφιείς, ὅτι τ πραγμά-
των ὑμῖν ὀκείνων αὐτοῖς ἀντιληπτέον ἐστιν, εἴπερ
ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. Ἡμεῖς δ' ὅσ-
τις οὖν ὄντινά μοι δοκῶμεν ἔχειν τρόπον πρὸς αὐτά.
Ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα, ψηφισαθ μὲν ἤδη
τὴν βοήθειαν, καὶ παρασκευάσαθ τὴν ταχίστην, ὅ-
πως ἐνδέχεσθε βοηθήσετε, καὶ μὴ πάθητε ταὐτὸν,
ὅπερ καὶ πρότερον· πρεσβείαν γ πέμψαι, ἥτις ταῦτ'
ἐρεῖ, καὶ παρέσται τοῖς πράγμασιν. Ὡς ἔστι μάλι-
στα τοῦτο δέον, μὴ πανδημ ὦν, καὶ ὀλίγοις ἀνθρω-
πον πράγμασι χρῆθαι, τὰ μὲν εἰκῆ, κἂν τύ-
χῃ, τὰ δ' ἀπόλλων (ἀξιόπιστον δ' ἂν εἰκότως φάι-
νοιτο) τὰ δ' ἡμᾶς Δωδώνων, καὶ τὴν ἀπουσίαν
τὴν ἡμετέραν, τρέψηται καὶ παράσπάσηταί τι τῶν
ὅλων πραγμάτων· ὃ μὴν ἀλλ' ἐπιμόνως, ὦ ἄνδρες Ἀ-
θηναῖοι, τοῦθ' ὅπερ δυσμαχώτατόν ἐστι τ Φιλίπ-
που πραγμάτων, καὶ βέλτιστον ὑμῖν. Τὸ γὰρ εἶναι
πάντων ὀκεῖνον, ἕνα ὄντα, κύριον, ἔ ῥητῶν, καὶ ἀπορ-
ῥήτων, καὶ ἅμα στρατηγὸν, ἔ δεσπότην, καὶ ταμί-
αν, ἔ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι,
πρὸς μὲν τὸ τὰ ἔ πολέμου ταχὺ ἔ κατὰ καιρὸν
πράττεσθαι, πολλῷ προέχει· πρὸς δὲ τὰς καταλλαγὰς,
ἃς ἂν ὀκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους,
ἐναντίως ἔχει. Δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις,
ὅτι νῦν μὲ δόξης, μέλ' ὑπὲρ μέρους χώρας πολε-
μοῦσιν, ἀλλ' ἀνασάσεως ἔ ἀνδραποδισμοῦ τ
πατρίδος· ἔ ἴσασιν, ὅτ' Ἀμφιπολιτῶν ἐποίησε
τοὺς

τὰς παραδόντας αὐτῷ τὴν πόλιν, ⁊ Πυδναίων τὰ
ὑποδεξαμένους. Καὶ ὅλως ἄπιστον οἶμαι ταῖς πο
λιτείαις ἡ τυραννὶς, ἄλλως τε, κἂν ὅμορον χώρα
ἔχωσι. Ταῦτ' ἴσν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Αθη
ναῖοι, ⁊ τἄλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους
φημὶ δεῖν ἐθελῆσαι, ⁊ παροξυνθῆναι, ⁊ τῷ πολε
μῳ προσέχειν εἴπερ ποτε, ⁊ νῦν. Χρήματα εἰσφέ
ροντας προθύμως, ⁊ αὐτοὺς ἐξιόντας, ⁊ μηδὲν ἐλ
λείποντας· ὁδὲ γὰρ λόγος, ὁδὲ σκῆψις ἐφ' ὑμῖν ἔ
μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν, ὑπολείπεσθαι. Νυνὶ γ
ὃ πάντες ἐθρυλλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι
δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον, ⁊ ταῦτα ἃ
ἂν ὑμῖν μάλιστα συμφέροι. Εἰ μὲν γὰρ ὑφ' ὑμῶν
πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμα
χοι, ⁊ μέχρί τε ταῦτ' ἐγνωκότες ἦσαν ἴσως· ἐπεὶ
δὴ ὑπ' ὀργῆς πρὸς αὐτοὺς ἐκκλημάτων μισθοῖσι, βα
βάιαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς, ὑπὲρ ὧν φοβοῦντα
⁊ πεπόνθασιν ἔχειν. Οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες
Αθηναῖοι, παραπεπλωκότα καιρὸν ἀφεῖναι, ὁδὲ
παθεῖν τὠυτὸν. ὅπερ ἤδη πολλάκις πρότερον πεπόν
θατε. Εἰ γὰρ, ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες,
καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ ⁊ Στρατοκλῆ
ἐπὶ τοῦτο τὸ βῆμα, κελεύοντες ὑμᾶς ἐκπλεῖν, ⁊
παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ'
ἡμεῖς ⁊ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἣνπερ ὑπὲ
τῶν Εὐβοέων σωτηρίας. Εἶχετ' ἂν Ἀμφίπολι
τότε, ⁊ πάντων τῶν μετ' ταῦτα ἂν ἦτε ἀπηλλα
γμένοι πραγμάτων· ⁊ πάλιν ἡνίκα Πύδνα, Ποτί
δαια, Μεθώνη, Παγασαὶ, τἄλλα (ἵνα μὴ καθ' ἕ
καστα λέγων διαβρίβω) πολιορκούμενα ἀπηγγέλλε
το, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως, καὶ ὡς

προσῆκεν, ἐβοηθήσαμεν αὐτοῖ, ῥᾴονι καὶ πολὺ τα-
χυτέρᾳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. Νῦν δὲ
τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτό-
ματα οἰόμενοι ἀρήσειν καλῶς, καὶ εὐξήσαμεν, ὦ ἄν-
δρες Ἀθηναῖοι, Φίλιππον ἡμεῖς, καὶ καλέσήσαμεν τη-
λικοῦτον, ἡλίκος οὐδεὶς πω βασιλεὺς γέγονε Μα-
κεδονίας. Νυνὶ δὲ καιρὸς ἥκει· τίς; ὅτος, ὁ τὴν Ὀ-
λυνθίων αὐτόμολος τῇ πόλει, ὃς οὐδενὸς ἐστιν ἐλάτ-
των τῶν πρότερον ἐκείνων. Καὶ ἔμοιγε δοκεῖ τις ἄν,
ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογισὶς τὰ παρὰ τῶν
θεῶν ἡμῖν ὑπηρεσμένων κατασκὰς, καὶ περ σοκ ἐ-
χόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐ-
τοῖς χάριν εἰκότως. Τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέ-
ναι κατὰ τὸν πόλεμον, τὰ ἡμετέρας ἀμελείας ἄν
τις θείη δικαίως· τὸ δὲ μήτε πάλαι τοῦτο πεπον-
θέναι, πηφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων
ἀντίῤῥοπον, ἂν βυλόμεθα χρῆσθαι τὰ παρ' ἐκείνων
εὐνοίας, εὐεργέτημ' ἂν ἔγωγε θείην. Ἀλλ', οἶμαι,
παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τὰ τῶν χρημάτων κλή-
σεως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγά-
λην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λά-
βῃ, συναναλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χά-
ριν. Καὶ περὶ τὰ πραγμάτων ὅτως· οἱ μὲν χρη-
σάμενοι τοῖς καιροῖς ὀρθῶς, εἰ δὲ συνέβη τι παρὰ
τὰ θεῶν χρηςὸν, μνημονεύυσι. Πρὸς γὰρ τὸ τελευ-
ταῖον ἑκάσοτε τῶν προϋπαρξάντων ὡς τὰ πολ-
λὰ κρίνεται. Διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ὑμᾶς, ὦ
ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταὐτὰ ἐπανορθω-
σάμενοι, τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀπο-
τρίψωμεθα. Εἰ δὲ προησόμεθα, ὦ ἄνδρες Ἀθηναῖ-
οι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὀλυνθον ἐκείνος

καταστρέψεσθαι· φρασάτω τις ἐμοί, τί τὸ κωλύο
ἔτ' αὐτὸν ἔσαι, βαδίζειν ὅποι βούλε; ἆρά γε λε
γίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ
τὸ τρόπον, δι' ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ
ἀρχὰς Φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λα
βών, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώ
νην αὖθις, εἶτα Θετταλίας ἐπέβη, μετὰ ταῦτα Φε
ρὰς, Παγασὰς, Μαγνησίαν, πάνθ' ὃν ἑβούλετο εὐ
τρεπίσας τρόπον, ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τε
μοὺ ἐκβαλὼν, τὸν ὑπ' κατασήσας τὸ βασιλέω
ἠσθένησε· πάλιν ῥώσας σῶν ἐπὶ τὸ ῥαθυμεῖν ἀπ
ἐκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε. Τὰς
ἐπ' Ἰλλυριοὺς καὶ Παίονας αὐτῷ καὶ πρὸς Ἀργιλ
καὶ ὅπη τις ἂν εἴποι, παρελείπω στρατείας. Τί ἐ
τις ἂν εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; Ἵνα γνῶτε
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αἴσθησθε ἀμφότερα, καὶ π
προϊέμε καθέκαστον αἰεί τι τῶν πραγμάτων, ὡς ἀ
λυσιτελές· καὶ τὴν φιλοπραγμοσύνην, ἣ πρὸς ἅπα
τας χρῆται, καὶ συζῇ Φιλίππῳ, ὑφ' ἧς σῶν ἔσ
ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις ἡσυχίαν ἄγη
Εἰσὶ δ' ὁ μὲν, ὡς αἰεί τι μεῖζον τῶν ὑπαρχόντων ὁ
πράττειν ἐγνωκὼς ἔσαι· ἡμεῖς δ' ὡς ἀδένος ἀντιλη
τέον ἐρρωμένως τῶν πραγμάτων, σκοπεῖσθε εἰς π
ποτε ἐλπὶς ταῦτα τελευτῆσαι. Πρὸς θεῶν, τ
ὅτως ἐνθυμῆς ἐστιν ὑμῶν, ὅστις ἀγνοεῖ, τὸν ὑκεῖθεν π
λεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; Ἀλλὰ μὴν
τοῦτο γενήσε, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ
αὐτὸν τρόπον ὥσπερ οἱ δανείζομενοι ῥᾳδίως ἐπ
τοῖς μεγάλοις τόκοις μικρὸν ἐυπορήσαντες χρόνο
ὕστερον καὶ τὰ ἀρχαίων ἀπέσησαν· ὅτω καὶ ἡμεῖς
ἐπὶ πολλῷ φανῶμεν ἐῤῥαθυμηκότες, καὶ ἅπαντ

πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ, ὧν σὺν θεῷ ἀφελόμεθα, ὕστερον εἰς ἀνάγκην ἐλθοῦσιν ποιεῖν, καὶ κινδυνεύσουσιν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ. Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον, καὶ παντὸς εἶναι· τὸ δ' ὑπὲρ τῶν παρόντων, ὅ, τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβουλεύειν. Ἐγὼ μὲν οὖν σὺν θεῷ ἀγνοῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ', ὅτι πολλάκις ὑμεῖς ἀ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἂν τι μὴ κατὰ γνώμην ἀκούσῃ, ἀ μὴν οἶμαί γε δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοπεῖσθαι, ὑποσείλαντα, περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. Φημὶ δὴ δίχῃ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν· καὶ τῷ τὴν ἐκείνοις χώραν κακῶς ποιεῖν, καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις. Εἰ δὲ δεύτερα τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιον ὑμῖν ἡ στρατεία γένηται. Εἴτε γὰρ ὑμῶν τὴν ἐκείνοις κακῶς ποιούντων, ὑπομείνας τοῦτο, Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον, ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἰκοι, προσκαθεδεῖται καὶ προσεδρεύσει τοῖς πράγμασι, καὶ ἐκείσαι τῷ χρόνῳ τὴν πολιορκουμένων. Δεῖ δὴ πολλὴν καὶ δίχα τὴν βοήθειαν εἶναι. Καὶ ἐκ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· ἐκ δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήματα ὑμῖν, ἔστιν ὅσα ἐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά· ταῦτα δ' ὑμεῖς ἂν ὦσιν, ὡς βέλεσθε, λαμβάνετε. Εἰ μὲν ἓν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, ἐδενὸς ὑμῖν προσδεῖ πόρου· εἰ δὲ μὴ, προσδεῖ· μᾶλλον δ' ἅπαντος

εὐθεῖ δ' πόρε. Τί ἂν, ἄν τις εἴποι, σὺ γεάφῃς ταῦτ'
εἶναι ςρατιωτικά; μὰ Δί', ὃν ἐγωγε. Ἐγὼ μ
ἡγοῦμαι ςρατιώτας δεῖν καθασκευασθῆναι, κ
ταῦθ' εἶναι ςρατιωτικὰ, κ μίαν σύνταξιν εἶναι,
τὴν αὐτὴν δ' τε λαμβάνειν, κ δ' ποιεῖν τὰ δέοντα.
Ὑμεῖς δ' ὅτω πως ἄνδυ πραγμάτων λαμβάνετ
εἰς τὰς ἑορτάς· ἔςι δὴ λοιπὸν, οἶμαι, πάντας εἰσ-
φέρειν, ἂν πολλῶν δέῃ, πολλά· ἂν ὀλίγων, ὀλίγα.
Δεῖ δ' χρημάτων, κ ἄνδυ τύτων ὑδὲν ἐςι γενέσ
τ δέοντων. Λέγεσι δ' κ ἄλλες τινὰς ἄλλοι πόρ
ὧν ἔλεσθε ὅσις ὑμῖν ἂν συμφέρειν δοκῇ· κ ἕως ἐς
καιρὸς, ἀντιλάβεσθε τ πραγμάτων. Ἄξιον δ' σ
θυμηθῆναι κ λογίσασθαι, τὰ πράγματα σὺ
καθέςηκε νυνὶ τὰ Φιλίππυ. Οὔτε γὰ, ὡς δοκ
κ φήσειέ τις ἄν, μὴ σκοπῶν ἀκριβῶς, ἐυπρεπῶ
ὑδ' ἂν ὡς κάλλισα αὐτῷ τὰ παρόντ' ἔχοι· ὅτ' ἂ
ἐξήνεγκε τ πόλεμόν ποτε τῦτον σκεῖν, εἰ πολι
μεῖν ᾤήθη δεῆσειν αὐτόν· ἀλλ' ὡς ἐπιὼν ἅπαντα
τότε ἠλπιζε τὰ πράγματα ἀναιρήσεσθαι, κατὰ δ
ἐψεύσαι. Τῦτο δ' πρῶτον αὐτὸν ταράτ, παρ
γνώμλω γεγονὸς, κ πολλὴν ἀθυμίαν αὐτῷ παρεχ
εἶτα τὰ τ Θετταλῶν· ταῦτα γὰ ἅπισα μ
δήπυ φύσι, κ ἀεὶ πᾶσιν ἀνθρώποις. Κομιδῇ δ
ὥσπερ ἦν, κ ἔςι νῦν τύτω· κ γὰ Πασσὰς ἅπα
τεῖν αὐτόν εἰσιν ἐψηφισμένοι· κ Μαγνησίαν κεκ
λύκασι τχίζειν· ἦκυον δ' ἔγωγε τινων, ὡς ὑδὲ τὺ
λιμένας, κ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρπ
σθαι· τὰ γὰ κοινὰ τ Θετταλῶν ἀπὸ τύτων δ
δοικεῖν, ὑ Φίλιππον λαμβάνειν· ἂν δ' τύτων ἀπ
ςερηθῇ τ χρημάτων, ἐις ςενὸν κομιδῇ τὰ τ τρ
φῆς τοῖς ξένοις αὐτῷ καταςήσεσθαι· Ἀλλὰ μὴν τ

γε Παίονα, καὶ τὸν Ἰλλυριὸν, καὶ ἁπλῶς τούτους ἅπαντας, ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν, καὶ ἐλευθέρους, ἢ δούλους εἶναι· καὶ γὰρ ἀσφαλῶς μᾶλλον κατακτήσεται τις· καὶ ἄνθρωπος ὑβριστὴς, ὡς φασι· καὶ μὰ Δί' ὀδὲν ἄπιστον ἴσως. Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴν δὲ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεσθαι. Διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τὰ καθεστῶτα δὲ κτήσασθαι χαλεπώτερον εἶναι. Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ὑμέτερον νομίσαντας, ἑτοίμως στρατεύεσθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτοὺς, καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, εἰ Φιλίππῳ λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν, καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἰεσθ' ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν; εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδεὶς ἂ πάθοιτ' ἂν, εἰ ἐξείη τ' ἐκείνῳ, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ πολεμήσετε; Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τοῦθ' ὑμᾶς λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερον ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν, ἢ παρ' ὑμῖν ἐκεῖνον. Ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε, καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν ταύτῃ ἀδεὲς καρπούμενοι· ἂν δὲ ἐκεῖνα Φιλίππῳ λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ σωσεισθαλῶσιν ἑτοίμως· ἀλλὰ φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσητε ὑμεῖς· ἢ ἄλλος τις; ἀλλ' ὦ τᾶν, οὐχὶ βελήσεται. Τῶν ἀτοπωτάτων μὴν τ' ἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὁμως ἐκλαλεῖ, ταῦτα φοβηθεὶς μὴ πράξῃ· ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ

διαφορὰ, ἐνθάδε ἢ ἐκεῖ πολεμεῖν, ἐδὲ λόγε προσ-
δεῖν ἡγοῦμαι· εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτὸς τριάκοντα
ἡμέρας μόνας ἔξω γενέσθαι, καὶ ὅσα ἀνάγκη, στρα-
τοπέδῳ χρωμένους, τὴν ἐκ τῆς χώρας λαμβάνειν, μη-
δενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλέον ἂν οἶ-
μαι ζημιωθῆναι τὸς γεωργοῦντας ὑμῶν, ἢ ὅσα εἰς
ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνηται. Εἰ δὲ δεῖ
πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιωθήσεσθαι;
καὶ προσέσται ἡ ὕβρις, καὶ ἔτι ἡ τῶν πραγμάτων αἰ-
σχύνη, ὀδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν.
Πάντα δὴ ταῦτα δεῖ σωιδόντας ἅπαντας βοη-
θεῖν, καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον· τὸς μὲν εὐπό-
ρους, ἵν' ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες, ἔχω-
σι, μικρὰ ἀναλίσκοντες, τὰ λοιπὰ καρπῶνται ἀσφα-
λῶς· τὸς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπει-
ρίαν ἐν τῇ τοῦ Φιλίππου χώρᾳ κτησάμενοι φοβερὸν
φύλακες τῆς οἰκείας ἀκεραίε γένωνται· τὸς δὲ λέ-
γοντας, ἵν' αὐτῶν πεπολιτευμένων αὐτοῖς εὐθύναι
ῥᾴδιαι γένωνται· ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς φαίνῃ τὰ
πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων
αὐτοῖς ἔσεσθε· χρησὰ δὲ εἰκὸς παντὸς ἕνεκα.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ὀλυνθιακὸς δεύτερος.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ Τῦ Ὀλυνθιακῦ δευτέρυ Λόγυ.

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλυσι δὲ τὴν ἔξοδον, καὶ διδάσκειν ὡς δυσπολεμήτυ ὄντυ τῦ Φιλίππυ· παρελθὼν δὲ ὁ Δημοσθένης, πράττεσθαι παρσύσθν τὸ δῆμον, ἐπιδείκνυς ὡς ἀσθενῆ τὰ τῦ Μακεδόνυ πράγματα· καὶ γὰρ τοῖς συμμάχοις ὑποπτον αὐτὸν εἶναί φησι, καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τὰς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ' ἑαυτάς.

ΕΠΙ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γενομένην τῇ πόλει, ἐκ ἥκιστα δὲ καὶ ἐν τοῖς παρῦσι πράγμασι· τὸ γὰρ τὰς πολεμήσαντας Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ὁμορον, καὶ δύναμίν τινα κεκτημένας, καὶ, τὸ μέγιστον ἁπάντων, τὴν ἐπὶ τῦ πολέμυ γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀτίσας, εἶτα τῶν ἑαυτῶν πατρίδα νομίζειν ἀνάσα-

σιν

σιν εἶναι, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἐοικυ
ἐυεργεσίᾳ. Δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆ
ἤδη σκοπεῖν αὐτὸς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐ
τὸς εἶναι δόξωμεν τῶν ὑπαρχόντων· ὡς ἔστι τὰ αἰ
σχρῶν, μᾶλλον ἢ τὰ αἰσχίσων, μὴ μόνον πόλεων κ
τόπων, ὧν ἡμῶν ποτε κύριοι, φαίνεσθ προϊεμένους
ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμ
μάχων τε καὶ καιρῶν. Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθη
ναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ πᾶ τῶ
των τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς
οὐκ καλῶς ἔχειν ἡγοῦμαι· πᾶ τί; ὅτι μοι δοκεῖ
πάνθ' ὅσα ἂν εἴπῃ τις ὑπὲρ τούτων, ἐκείνῳ μᾶλ
λον ἔχειν φιλοτιμίαν τινὰ, ἡμῖν δὲ οὐκ καλῶς πε
πραχθαι· ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πε
ποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμασότερος παρὰ
πᾶσι νομίζεται· ὑμεῖς δ' ὅσῳ χεῖρον ἢ προσῆκε κε
χρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύ
νην ὠφλήκασε· ταῦτα μὲν οὖν παραλείψω· καὶ γὰρ ἐ
μετ' ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοπῶν τα
ὐτὰ, ἂν μέγαν αὐτὸν ἴδοι γεγενημένον οὐκ παρ'
αὐτοῦ. Ὧν οὖν ἐκεῖνον μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ
πεπολιτευμένοις χάριν, ὑμῖν δ' δίκην προσῆκε λα
βεῖν, τούτων οὐκ νῦν ὁρῶ τὸν καιρὸν οὐδ' λέγειν· ἐν δὲ
χωρὶς τούτων ἐνί. καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάν
τας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ'
ἐκεῖνα φαίνοιτ' ἂν ὀνείδη βουλομένοις ὀρθῶς δοκιμά
ζειν, ταῦτ' εἰπεῖν πειράσομαι. Τὸ μὲν οὖν ἐπιορκον καὶ
ἄπιστον καλεῖν, ἄνδρα δὲ τὰ πεπραγμένα δικαίως
λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως· τὸ γὰρ
πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντα, ἐφ' ἅπασι
τούτοις ἐλέγχειν, καὶ βραχέων λόγων συμβαίνει δεῖσθαι

καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρήνης· τοῦτ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· καὶ δεῖ, τοὺς ὑποπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον, ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος μέγας νῦν ἠυξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματα αὐτῷ· ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα ἂν ἡσθείμην καὶ αὐτὸς φοβερὸν εἶναι καὶ θαυμαστὸν τὸν Φίλιππον, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω, τὴν μὲν ἡμετέραν εὐηθείαν τὸ κατ' ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ἡμῖν ἁλῶναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενον ποτὲ ἀπόρρητον ἐκεῖνο κατασκευάσειν, τοῦτῳ προσαγόμενον· τὴν δὲ Ὀλυνθίων φιλίαν μὲν ταῦτα, τῷ Ποτιδαίαν, οὖσαν ἡμετέραν, ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι. παραδοῦναι δὲ ἐκείνοις. Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα, τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι, καὶ τὸν Φωκικὸν πόλεμον ὑπὲρ αὐτῶν πολεμήσειν ἀναδέξασθαι· ὅλως δὲ ὑδεὶς ἐστιν, ὁντινοῦν ἐπεφενάκικεν ἐκεῖνος τοῖς αὐτῷ χρησαμένοις· τὴν γὰρ ἑκάστων ἄνοιαν αἰεὶ τοῖς μὴ νοοῦσιν αὐτὸν ἐξαπατῶν, καὶ προσλαμβάνων, οὕτως ηὐξήθη· ὥσπερ οὖν καὶ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ὤοντο τότε πράξειν, ὅτως ὀφείλει καὶ τούτων τῶν καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Καιρὸς μὲν δὴ, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα, εἰ παρελθών τις ἐμοὶ, μᾶλλον δὲ ὑμῖν δόξατω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατη-

ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι Θετταλοί, νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι; Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν ὅτως ἔχειν ἡγεῖται, οἷς δ' ὁ βίος καθέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προσληφέναι, οὐκ ὀρθῶς οἶεται. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συνῇ, καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι καὶ πολεμεῖν, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφοράς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν δ' ὑπ' οὐ πλεονεξίας καὶ πονηρίας τινός, ὥσπερ ὅτε, ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν παῖσμα ἅπαντα ἀνεκαίτισε, καὶ διέλυσεν· ἐν γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι· ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ, καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν ἂν τύχῃ· τῷ χρόνῳ δ' ὑφαίρεται καὶ αὐτὰ καταῤῥεῖ· ὥσπερ γὰρ οἰκίας οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρόταλα εἶναι δεῖ· οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. Τοῦτο δ' οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ φημὶ δὴ δεῖν ὑμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν· καὶ ὅπως τις λέγει, κάλλιστα, καὶ τάχιστα ὅτως ἀρέσκει μοι. Πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἢ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δ' παροξυνεῖ καὶ γὰρ νῦν εἰσιν ἐψηφισμένοι Παρασὰς ἀπαντεῖν, καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. Σκοπεῖτε μή τοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ὑμῶν πρεσβεῖς, ἀλλὰ καὶ ἔργον τι δείκνυσθαι ἕξουσιν, ἐξεληλυθότων ὑμῶν ἀξίας

τ πόλεως, κ ὄντων ἐπὶ τοῖς πράγμασιν· ὡς ἅπας
μ λόγ, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι
φαίνε κ κενόν· μάλισα ὁ παρὰ τ ἡμετέρας
πόλεως. Ὥσω γ ἑτοιμότα αὐτῷ δολῶμ χρῆ,
τοσότῳ μᾶλλον ἅπις σι πάν|ες αὐτῷ· πολλὴν
τὴν μετάσασιν, κ μεγάλω δ|κτέον τὴν μετα-
βολήν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιῶντας ἑ-
τοίμως, εἴπερ τις ὑμῖν προσέξ τ νῦν, κἂν ταῦτα
βελήσητε, ὡς προσήκ κ δεῖ, παραίνῳ, ὦ μόνον,
ὦ ἄνδρες Ἀθηαῖοι, τὰ συμμαχικὰ ἀθενῶς κ
ἀπίσως ἔχοντα φανήσε Φιλίππῳ, ἀλλὰ κ τὰ τ
οἰκείας ἀρχῆς κ δυνάμεως κακῶς ἔχοντα ἐξε-
λε|χθήσε· ὅλως μ γ ἡ Μακεδονικὴ δύναμις κ
ἀρχή, σ μ προθήκης μέρ| ἐσί τις ἀ σμικρά.
Οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέ πρὸς Ὀλυν-
θίους· πάλιν αὖ, πρὸς Ποτιδαιᾶν Ὀλυνθίοις ἐφά-
νη τι τοῦτο συναμφότερον· νυνὶ ὑπὲ Θετ|αλοῖς νο-
σοῦσι, κ σασιάζουσι, κ τεταραγ|μένοις ἐπὶ τὴν τυ-
ραννικὴν οἰκίαν ἐβοήθησε. Καὶ ὅπῃ τις ἂν, οἶμαι,
προθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ· αὐτὴ
γ καθ' αὑτὴν ἀθενὴς κ πολλῶν κακῶν ἐσι μεσή.
Καὶ γ ὅτ ἅπασι τούτοις, οἷς ἄν τις μέγαν
αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις, κ ταῖς σρατείαις
τ' ἐπισφαλεσέραν αὐτὴν, ἣ ὑπῆρχε φύσ, κατ-
εσκεύακεν ἑαυτῷ. Μὴ γ οἰεσθε, ὦ ἄνδρες Ἀθη-
αῖοι, τοῖς αὐτοῖς Φιλίππου τε χαίρ, κ τὰς ἀρ-
χομένας ἀλλ' ὁ μ δόξης ἐπιθυμεῖ, κ τοῦτο ἐζη-
λωκε κ προήρηαι πράτ|ων κ κινδυνεύων, ἂν συμ-
βῇ τι παθεῖν, τ δ' ἀπραξάμεν ταῦτα, ἐ μηδεὶς
πώποτε ἄλλ Μακεδόνων βασιλεὺς, δόξαν ἀντὶ
δ ζῆν ἀσφαλῶς ᾑρημέ· τοῖς γ, τ μ φιλοτι-

μίως

μίας τ' ἀπὸ τούτων ὑμέτερος κοπλόμβοι ἢ αἰεὶ ταὶ
στρατείαις ταύταις ταῖς ἄνω τε κὴ κάτω, λυπεῖ
ται κὴ συνεχῶς ταλαιπορῶσι, ὥστ' ἐπὶ τοῖς ἔρ[γοις
ὥστ' ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμβοι ἀφτριβεῖν, ὥσ
ὅσ' ἂν πορίσωσιν ὅτως, ὅπως ἂν δύνωνται, ταῦτ
ἔχοντες ἀφιδέας κεκλεισμβύων τ' ἐμπορίων τ' α
τῆ χώρα ἀφ' τ' πόλεμον. Οἱ μὲ ὖν πολλοὶ Μα
κεδόνων πως ἔχουσι Φιλίππω, ἐκ τούτων ἄν τις σκέ
ψαιτο ὑ χαλεπῶς· ὁ ἢ δὴ φὶ αὐτὸν ὄντες ξένοι
κὴ πεζέταροι δόξαν μὲ ἔχουσιν, ὡς εἰσὶ θαυμασ
κὴ συ[κεκρατημβύοι τὰ ὅ πολέμω· ὡς δ' ἐγὼ τ
ἐν αὐτῆ τῆ χώρα γεγενημβύων τινὸς ἤκουον, α
δρὸς ὐδαμῶς οἴὸ τε ψεύδεας, ὐδένων εἰσὶ βελτίω
εἰ μὴ γάρ τις ἀνὴρ ἔστιν ἐν αὐτοῖς, οἵ[ος ἐμπρέ
πολέμω κὴ ἀγώνων, τούτους μὲ φιλοτιμίας πάντα
ἀπωθεῖν αὐτὸν ἔφη, βυλόμβυον πάντα αὐτῶ δοκεῖ
εἶναι τὰ ἔργα· πρὸς γὰ αὖ τοῖς ἄλλοις, κὴ τὴν φι
λοτιμίαν τἀνδρὸς ὑπερβλητὸν εἶναι. Εἰ δέ τι
σώφρων, ἢ δίκαι[ος ἄλλως τὴν καθ' ἡμέραν ἀκρα
σίαν ὅ βίω, κὴ μέθη, κὴ κορδακισμοὺς ὑ δυνά
μβυ[ος φέρειν, παρεωρᾶας κὴ ἐν ὐδενὸς εἶναι μέρ
τ' τοιοῦτον· λοιπὸς δὴ φὶ αὐτὸν εἶναι λησὰς κ
κόλακας, κὴ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέν
τας ὀρχεῖας, τοιαῦτα, οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑ
μᾶς ὀνομάσαι· δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ
κὴ γὰ ἐς ἐνθένδε πάντες ἀπήλαυνον. ὡς πολὺ τ
θαυματοποιῶν ἀσελγεςέρους ὄντας, Καλλίαν ἐκθέ
νον τ' δημόσιον κὴ τοιούτους ἀνθρώπους μίμους γ
λοιῶν, κὴ ποιητὰς ἀιχρῶν ἀσμάτων, ὧν ἐις τὸ
συνόντας ποιῆσιν, ἕνεκα ὅ γελασθῆναι, τούτους ἀ
γαπᾶ κὴ φὶ αὐτὸν ἔχει. Καίτοι ταῦτα εἰ κα
μιχρ

μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν· ἀλλ', οἶμαι, νῦν μὲν ἐπισκοπεῖν τάκτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δεινὰι συσκευάζειν καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι πλάισζε, τότε ἀκριβῶς αὐτῆς πάντ' ἐξεταθήσεται. Δοκεῖ δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δεῖξαι οὐκ εἰς μακρὰν, ἂν οἵτε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. Ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν, ἕως μὲν ἂν ἐρρωμένον ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῆς καθέκασα σωθρεῶν· ἐπὰν δ' ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλό τι τῶν ὑπαρχόντων σαθρεῶν ᾖ· οὕτω καὶ τῆς πόλεων, καὶ τῶν στρατευμάτων, ἕως μὲν ἂν ἔχω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν· ἐπειδὰν δ' ὁμοίου πόλεμου συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρᾶν, ταύτην φοβερὸν προσπολεμῆσαι νομίζῃ, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δ' ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· ὅ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρὸν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνοῦσας, ἢ ἐκείνῳ· ἀλλ', οἶμαι, καθήμεθα ὑδὲν ποιοῦντες. Οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα ὑδὲ φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τι γε δὴ τοῖς θεοῖς· ὃ δὴ θαυμαστόν ἐστιν, εἰ στρατολόμβος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηθένα καιρὸν μὴ δ' ὥραν παραλείπων, ὑμῶν

μελλόντων, καὶ ψηφιζομένων, καὶ πυνθανομένων, περιγίγνεσθαι. Οὐ δὴ θαυμάζω τοῦτο ἐγὼ τοὐναντίον· ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσῆκε πάντα ποιοῦντ' ἃ δεῖ, τοῦτ' ἐλλείπομεν. Ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τοῦ Ἑλληνικοῦ δικαίων ἀντήρατε· καὶ πολλὰ ἴδια πλεονεκτήσαι πολλάκις ὑμῖν ἐξὸν, οὐκ ἠθελήσατε· ἀλλ' ἵνα οἱ ἄλλοι τύχωσι τοῦ δικαίου, τὰ ὑμέτερα αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προεκινδυνεύετε στρατευόμενοι· νυνὶ δ' οὐκεῖτε ἐξιέναι καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τοῦ ὑμετέρων αὐτῶν κτημάτων· καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, καὶ καθ' ἕκαστον μέρος· τὰ δ' ὑμέτερα αὐτῶν ἀπολωλεκότες κάθησθε· ταῦτα θαυμάζω. Καί ἔτι πρὸς τούτοις ἐμοὶ μηδεὶς εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναιτ' ἂν λογίσασθαι, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ πόσων ποιούντων ὑμῶν ἅπαξ ὁ χρόνος διελήλυθεν ἑκάστοτε. Ἴσε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπίζοντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, χρεὼν ταῦτα ἅπερ νυνὶ ποιοῦντων, ὁ χρόνος ἅπας διελήλυθεν. Εἶτα οὐκ ἀναμένετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἐν τῷ χρηστῶν φαῦλα τὰ πράγματα γέγονε τοῦ πολέμου ἀφ' ὧν αὐτῶν τοῦτον ἐλπίζετε πράξειν, οὐ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι· ἀλλ' ὅτ' εὔλογον οὕτως ἔχειν ἐστὶ φύσιν τοῦτό γε. Πολὺ γὰρ ῥᾷον ἔχοντας φαύλως ἢ κλήσασθαι πάντα πέφυκε. Νυνὶ δ', ὅτι μὴ φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν πρότερον κλήσασθαι δεῖ. Αὐτῶν ἐν ὑμῶν τοῦτο γὰρ ἤδη· φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτ[illegible]

ἐξιέν[illegible]

ἐξιέναι προθύμως, μηδένα αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε τιμωρησάμενοι δι' ἀπ' αὐτῶν τῶν ἔργων κρίνοντας, τοὺς μὲν ἀξίως ἐπαινοῦντες, τιμῶντες, τοὺς δ' ἀδικοῦντας, κολάζοντες· τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· ὀγαθὸν γὰρ ἔστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. Τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας, ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίᾳ δ' εὑρίσκειν πολέμους; εἰ δεῖ τι τῶν ὄντων καὶ ὠφελεῖν τοὺς στρατηγῶν εἰπεῖν, ὅτι ἐνταῦθα μάλ' ἐστὶ τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος ὑμέτερα Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ' οὐκ ἔστιν· ἐπεὶ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν. Λάμψακος, Σίγειον, τὰ πλοῖα ἀποκωλῶσιν· ἐπὶ ἓν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωρῶσιν· ὑμεῖς δ' ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε· ὅταν δ' ὄντες λόγον τοὺς ἀναίτιους ἀκούσητε, τούτους ἀφίετε. Περίεστι τοίνυν ἡμῖν ἀλλήλοις ἐρίζειν καὶ διεσάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα· τὰ κοινὰ δ' ἔχειν φαύλως. Πρότερον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσφέρετε κατὰ συμμορίας· νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας· ῥήτωρ ἡγεμὼν ἑκατέρων καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βουλησόμενοι οἱ τριακόσιοι· οἱ δ' ἄλλοι προσενέμησθε, οἱ μὲν ὡς τούτους οἱ δ' ὡς ἐκείνους. Δεῖ δὴ ταῦτα ἐπανέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους βουλὸν τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν

ποιῆσαι· εἰ δ' τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος, ἡ
μῶν ἐπιτάττειν ἀπεδώσετε· τοῖς δ' ἀναγκάζειν τιμ
ηραρχεῖν, εἰσφέρειν, στρατεύειν, τοῖς δ' ψηφίζειν κα
τὰ τούτων μόνον, ἄλλο δ' μηδὲν ἐᾶν συμπονεῖν· ἐγχ
γενήσεται τῶν δεόντων ὑμῖν ἐν καιρῷ· τὸ γὰρ κ
δικημβρόν αἰεὶ μέρος ἐλλείπει· εἶθ' ὑμῖν τοῦτο
κολάζειν ἀντὶ τῶν ἐχθρῶν φέρεται. Λέγω δὴ κεφά
λαιον, πάντας εἰσφέρειν, ἀφ' ὧν ἕκαστος ἔχει, τ
ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαν
τες στρατεύσησθε· φᾶσι τοῖς παρεῖσι λόγον διδό
ναι· ἢ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι, μη
δ' ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ· κἂν ταῦτα ποιῆτε, ἐπ
εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ
ὑμᾶς αὐτοὺς ὕστερον πολλῷ βέλτιον τῶν ὅλων πραγ
μάτων ὑμῖν ἐχόντων.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ὀλυνθιακὸς τρίτος.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ Τῦ Ὀλυνθιακῦ τρίτυ Λόγυ.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθῶν ἔδοξαν δι' αὐτῆς, καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο· ὁ δὴμος εὐθὺς ἐχαρης, οἵτε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν τοῦ Φιλίππυ. Ὁ δὲ Δημοσθένης δεδοικὼς, μὴ θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημμένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονειαν αὐτῶν, καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι λέγων, ὡς οὐκ ἔστι Φιλίππυ τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ τοῦ τῶν συμμαχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι, καὶ ἄλλοί πυ τινες οὐ μὰ μὴ τὰ οἰκεῖα προέσθαι, ποιοῦνται φροντίδα. Περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. Ἐντεῦθεν τῷ λόγῳ καὶ τοῦ θεωρικῶν χρημάτων συμβολὴς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους, τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, ἵνα δειχθῇ τὰ συμβουλεύων τὰ βέλτιστα παραινεῖ δὲ ὅλως

προς τ᾽ τ᾽ προγόνων ζῆλον ἀναςῆναι, κ᾽ στρατεύ-
εσθ᾽ σώμασιν οἰκείοις· κ᾽ ἐπιτιμήσ᾽ πολλῇ κ᾽
χρη᾽ κατὰ ᾧ δήμῳ, τέως σκλελυμμένῳ, κ᾽ τ᾽ δη-
μαγωγῶν, ὡς ὃν ὀρθῶς προϊσαμένων τ᾽ πόλεως.

ΟΥΧΙ᾽ ταὐτὰ παρίσαταί μοι γνώσ-
κειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς
τὰ πράγματα ἀποβλέψω, κ᾽ ὅτα
εἰς τοὺς λόγους ἃς ἀκούω. Τοὺς μὲν γ᾽
λόγους ᾧδε᾽ ᾧ τιμωρήσασθ᾽ Φίλιπ-
πον ὁρῶ γιγνομένους· τὰ δ᾽ πράγματα εἰς τοῦτο προ-
ήκοντα, ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον
κακῶς σκέψασθ᾽ δεον· ὥστ᾽ ἔν ἄλλό μοι δοκοῦσι
οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑποθεσιν ᾧδε᾽ κ᾽
βουλεύεσθε, ἀλλ᾽ τὴν ἥσαν παρισάντες ὑμῖν ἁμαρ-
τάνειν. Ἐγὼ δ᾽ ὅτι μὲν ποτε ἐξῆν τῇ πόλει κ᾽ τὰ
αὑτῆς ἔχειν ἀσφαλῶς, κ᾽ Φίλιππον τιμωρήσασθ᾽, κ᾽
μάλα ἀκριβῶς οἶδα· ἐπ᾽ ἐμοῦ γὰρ, ἀλλ᾽ πάλαι,
γέγονε ταῦτα ἀμφότερα. Νῦν μὲν τοι πέπεισμαι
τοῦθ᾽ ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅ-
πως τοὺς συμμάχους σώσωμεν· ἐὰν γὰρ τοῦτο βεβαί-
ως ὑπάρξῃ, τότε κ᾽ ᾧδε᾽ ᾧ τίνα τρόπον τιμωρήσο-
μεθα τις σκεῖνον, ἐξέσται σκοπεῖν· πρὶν δ᾽ τὴν ἀρχὴν
ὀρθῶς ὑποθέσθ᾽, μάταιον ἡγοῦμαι ᾧδε᾽ τελοῦντ᾽
οὑτινοῦν ποιεῖσθ᾽ λόγον. Ὅ μὲν οὖν παρὼν καιρὸς, ὦ
ἄνδρες Ἀθηναῖοι, εἰπέρ ποτε, κ᾽ νῦν πολλῆς φρον-
τίδ᾽ κ᾽ βουλῆς δεῖται· ἐγὼ δ᾽ οὐκ οἶδ᾽, τι χρὴ ᾧδε᾽
τ᾽ παρόντων συμβουλεύσαι χαλεπώτατον ἡγοῦμαι·
ἀλλ᾽ σκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀ-
θηναῖοι, πρὸς ὑμᾶς ᾧδε᾽ αὐτῶν εἰπεῖν. Πέπεισμαι
γὰρ, ἐξ ὧν παρὼν κ᾽ ἀκούων σύνοιδα, τὰ πλείω τῶν
πραγμάτων

πραγμάτων ὑμᾶς ἐκπεφυγέναι τῷ μὴ βέλτιστα τὰ δέοντα ποιεῖν, ἢ τῷ μὴ σωφρονεῖν. Ἀξιῶ οὖν ὑμᾶς, ἂν μὴ παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομεῖναι, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω, ἢ ἕνεκα τούτου, ἵνα τὰ λοιπὰ βελτίω γένηται. Ὁρᾶτε γάρ, ὡς οὐ πρὸς χάριν δημηγορεῖν δοκῶ, ἐξ ὧν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα. ἀναγκαῖον οὖν ὑπολαμβάνων μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτε ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θράκῃ, τρίτον ἢ τέταρτον ἔτος τοῦτο, Ἡραῖον τεῖχος πολιορκῶν. Τότε τοίνυν μὴν μὲν ἦν μαιμακτηριών. Πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν, ἐψηφίσασθε τεσσαράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μὲχρι πέντε καὶ τεσσαράκοντα ἐτῶν, αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. Καὶ μετὰ ταῦτα διελθόντος δὲ ἐν αὐτῷ τούτῳ ἑκατομβαιῶνος, μεταγειτνιῶνος, βοηδρομιῶνος τοῦτο δὲ μόλις μόλις, μετὰ τὰ μυστήρια δέκα ναῦς ἀπεστείλατε ἔχοντα Χαρίδημον κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου· ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν, καὶ τεθνεὼς (ἤλθε γὰρ ἀμφότερα) οὐκέτι καιρὸν ᾠήθητε δεῖν βοηθεῖν νομίσαντες ἀφῆκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ δέον· ἦν δὲ τότε ὁ καιρὸς αὐτός. Εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως· οὐκ ἂν ἠνώχλει νῦν ὑμῖν ὁ Φίλιππος τότε σωθείς· τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι. Νῦν δὲ ἕτερος πόλεμος καιρὸς ἥκει· τίς; ἔστω, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. Τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει πάντα τὸ δυνατὸν, θεάσασθε

ἃ

ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. Ὑπῆρχον Ὀλυνθίοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' ὕτω τὰ πράγματα, ὅτε Φιλίππῳ ἐθαρρεῖτε τότε, ὅθ' ὅτοι Φιλίππου ἐπράξαμεν ἡμεῖς, κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην. Ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ, καὶ δυσχερες, πάλιν μεγάλην ἐφορμᾶν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένοις πρὸς ἡμᾶς· ἐκπολεμῶσαι δεῖν ὠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ ὁ πάντες ἐθρύλλουν τέως, τοῦτο πεπρᾶχθαι νῦν ὅπως δήποτε. Τί δὴ ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως, ἐγὼ μὲν οὐκ ὁρῶ. Χωρὶς γὰρ τοῦ θεῖσάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφειμένοι τι τῶν πραγμάτων· ὑδὲ τοῦτο φόβου, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ τοῦτο μὴ ταῦτα ἐχόντων μὰ ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπῳρηκότων ἢ χρήμασι Φωκέων, μηδενὸς σφ' ἐμποδὼν· ὄντος Φιλίππου τὰ παρόντα κατασκευαμένου πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. Ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεσθαι ποιήσῃ τὰ δέοντα, ἰδεῖν ἐγγυθεν βέλτιστα δ' ἂν, ἐξὸν ἀκμὴν ἄλλοθι γινόμενα καὶ βοηθοῦς αὐτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι μὰ γὰρ εἰς τοῦτο θεῖσήσεται τὰ πράγματα. ἐὰν τὰ παρόντα προώμεθα, χεδὸν ἴσμεν ἅπαντες ὅτι. Ἀλλ' ὅτι μὰ δὴ δεῖ βοηθεῖν, εἴποι τις ἂν, πάνυ ἐγνώκαμεν καὶ βοηθήσομεν· τὸ γὰ ὅπως, τοῦτο λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς· νομοθέτας καθίσατε· καὶ γὰ τούτοις τοῖς νομοθέταις μὴ θῆσθε νόμον μηδένα (εἰσὶ γὰρ ὑμῖν ἱκανοὶ) ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλέποντας ὑμᾶς λύσατε. Λέγω γὰρ τοὺς τοῦ

περὶ τῶν θεωρικῶν σαφῶς ὑμῖν καὶ τοὺς περὶ τῶν στρατιωτῶν εἰπεῖν. ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς ὁπλίταις μόνοις ἀμφέμοσι θεωρικά· οἱ δὲ τοὺς ἀπόρους καθιστᾶσιν, εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους, ἀθυμοτέρους ποιοῦσιν· ἐπιθαὶ δὲ ταῦτα λύσητε, καὶ τὴν δὲ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ. Τηνικαῦτα δὲ γράψοντα ἀεὶ πάντες ἴσμεν ὅτι συμφέρει, ζητεῖτε· πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τις εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ' ὑμῶν ἀπολεῖται· ὁ γὰρ εὑρήσει. Ἄλλως τε καὶ τότε μόνον φεύγουσι μέλλοντι δὲ παθεῖν ἀδίκως τι κακὸν τὸ ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὶ' ὠφελῆσαι τὰ πράγματα. Ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι· καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους αὐτούς, οἵπερ καὶ τεθείκασιν· ὁ γὰρ ἐστὶ δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν· τὴν δὲ ἀπέχθειαν, δι' ἧς ἅπαντες ἂν ὠφέλουν πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. Πρὶν δὲ ταῦτα ἐντρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβαίνειν μὴ θέναι δίκην· μήθ' ὅτως ἀνόητον, ὥστε εἰς πρόσκλον κακὸν αὐτὸν ἐμβαλεῖν· ὁ μὴν ὅθ' ὑμᾶς λανθάνειν δεῖ. ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα ὀθενοῦς ἐστιν ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τάγε δόξαντα προθύμως ὑμᾶς· εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἃ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ φεύγειν ἂν γράφειν ἁμαρτάνοντας· ὅτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ μᾶλλον ἃ δεῖ ἐπράττετε

ἐπράτ]ετε τούτων· ὅτε Φ.λιππ[ον τοσοῦτον ὑφ]ίε
χρονον· πάλαι γὰρ ἂν, ἕνεκά γε ψηφισμάτων ἐδ
δώκη δίκην· ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχ]. Τὸ γὰρ πράτ
τὴν δ' λέγειν καὶ χ]ροτονεῖν ὕστερον ὂν τῇ τάξ], πρ
τερον τῇ δυνάμ] καὶ κρεῖττ]ον ἐστι· τοῦτ' οὖν δεῖ προσ
εἶναι· τὰ δ' ἄλλα ὑπάρχ]. Ἐ γὰρ εἰπεῖν τὰ δέον
παρ' ὑμῶν εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι δυνάμ]
καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα,
πρᾶξαι ἢ δυνήσεσθε νῦν ἐὰν ὀρθῶς ποιῆτε. Τίνα γ
χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐ παρ
όντ[ων] βελτίω ζητεῖτε; ἢ ποτε ἃ δεῖ πράξετε,
μὴ νῦν; οὐχ ἅπαντα μὲν ὑμῶν τὰ χωρία προειλ
φεν ἄνθρωπ[ος]; εἰ δὲ καὶ ταύτης κύρι[ον] τὸ χώρα
γενήσεσθαι, πάντων αἰσχιστα πεισόμεθα οὐχ ὃς ἐ πο
λεμήσαιεν, ἐτοίμως σώσειν ὑπισχνούμεθα. ἔτοι νῦ
πολιμουνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ὑμέτερα
ὁ βάρβαρ[ος]; οὐχ ὅ, τι ἂν εἴποι τις; ἀλλὰ πρὸ
θεῶν, ἅπαντα ταῦτα εἰδότες καὶ μονονουχὶ συ[κα
τασκευάσαντες αὐτῷ, τότε τὸν αἰτίαν, οἵτινες εἰσ
τούτων, ζητήσομεν; ὁ γὰρ αὐτοί γ' αἴτιοι φησομ
εἶναι· σαφῶς οἶδα τοῦτ' ἐγώ· ὅδε γὰρ ἐν τοῖς
πολέμοις κινδύνοις τὸ φυγόνδυον ὁδεὶς ἑαυτῷ κα
γορεῖ· ἀλλὰ καὶ [στρατηγὸ, καὶ τ]ὸ πλησίον. Ἐ πά
των μᾶλλον ἡτ]ηθ]αι δ' ὅμως ἅμ' πάν]ας τὸς φ
γόν]ας δικαι· μόνῳ γὰρ ἐξῆν τῷ καθ]ησθαι τ]ὸ ἄλλα
εἰ ἢ τοῦτ' ἐποίη ἕκας[ος], συνίκων ἄν. Καὶ νῦν
λέγῃ τις τὰ βέλτισα; ἀνασὰς ἄλλ[ος] εἰπάτω
μὴ τοῦτον αἰτιάσθω. Ἕτερ[ος] λεγῇ τις βελτίω
ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ· ἀλλ' οὐχ ἡδέα ταῦτα
οὐκετι τοῦθ' ὁ λέγων ἀδικεῖ· πλὴν εἰ δέον εὐξαλ
παραλείπ]. Εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι,

ῥᾴδιον

ῥᾴδιον, εἰς ταὐτὸ πάνθ' ὅσα βέλεται τις ἀθροί-
σαντα ἐν ὀλίγῳ· ἐλεσθαι ϗ, ὅταν περὶ πραγμά-
των προπεθῇ σκοπεῖν, ὁπόθεν ὁμοίως εὔπορον· ἀλλὰ
δεῖ τὰ βέλτιστα ἀντὶ τῶ ἡδέων, ἂν μὴ ἀμφότερα
ἔχῃ, λαμβάνειν. Εἰ δέ τις ἡμῖν ἔχοι θεωρικὰ ἐᾶν,
ϗ πόρους ἑτέρους λέγειν στρατιωτικούς, ὐχ ὕτος χρεί-
των; εἰπάτω τις ἄν. Φημὶ ἔγωγε, εἰ περ ἐστὶν, ὦ ἄν-
δρες Ἀθηναῖοι ἀλλὰ θαυμάζω ἐ τῷ ποτε ἀνθρώ-
πων, ἢ γέγονεν, ἢ γενήσεται, ἂν τὰ παρόντα ἀπο-
λώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων ἐυπορῆσαι πρὸς
ἃ δεῖ· ἀλλ' οἶμαι μεγάλα τοῖς τοιούτοις ὑπάρχειν
λογισμὸν ἡ παρ' ἑκάστου βούλησις· διόπερ ῥᾷστον ἁπάν-
των ἐστὶν αὐτὸν ἐξαπατῆσαι ὁ γὰρ βούλεται, τοῦθ' ἕ-
καστος ϗ οἴεται. Τὰ ϗ πράγματα πολλάκις ὐχ
ὕτω πέφυκεν· ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ'
ὕτως, ὅπως ϗ τὰ πράγματα ἐνδέχεται, ϗ διωκή-
σεσθε ἐξιέναι, ϗ μισθὸν ἐξεῖτε ὕτοι σωφρόνων, ὐδὲ
γενναίων ἐστὶν ἀνθρώπων ἐλλειπονυίας τι σῆ ἐνδείαν
χρημάτων ὅ πολεμῶν ἐυχερῶς τὰ τοιαῦτα ὀνειδῆ
φερῶν, ὐδὲ ἐπὶ μὲ Κορινθίους, ϗ Μεγαρέας, ἁρπά-
σαντας τὰ ὅπλα πορευέσθω, Φιλίππου δὲ ἐᾶν πό-
λεις Ὀλυνθίους ἀνδραποδίζεσθω δὲ ἀπειρίαν ἐφοδίων
τοῖς στρατευομένοις· ϗ ταῦτ' ὐκ ἐν ἀπεχθωμαί
τισιν ὁμῶν τῶν ἄλλως προῄρημαι λέγειν (ὐ γὰρ ὕτως
ἄφρων ὐδὲ ἀτυχὴς εἰμὶ ἐγὼ, ὥστε ἀπεχθάνεσθω
βέλεσθω ωηδὲν ὠφελεῖν νομίζων) ἀλλὰ δικαίως πο-
λίτῃ κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῶν ἐν
τῷ λέγειν χάριν αἱρεῖσθω· ϗ γὰρ τοὺς ἐπὶ τῶν προ-
γόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ ἴσως ϗ ὑμεῖς,
ὃς ἐπαινοῦσι, ϗ οἱ παριόντες ἅπαντες μιμοῦνται σῆ
τὸ πάνυ, τούτῳ τῷ τρόπῳ ϗ τῷ ἔθῃ τῶν πολιτείας
χρῆσθω.

χρῆσθ· τ̃ Ἀριστείδου σκεῖνον, τ̃ Νικίαν, τ̃ ὁμώ-
νυμον ἐμαυτῷ, τ̃ Περικλέα. Ἐξ ὧν οἱ διεροῦντες ὑμᾶς ὅτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσομαι; προπέποται τ̃ παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τ̃ πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει· καὶ τὰ μὲ τούτων πάντα καλῶς ἔχει, τὰ δὲ ὑμέτερα αἰσχρῶς. Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἃ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι τ̃ ἐπὶ τ̃ προγόνων ἔργων, καὶ τ̃ ἐφ' ὑμῶν· ἔσται γ' βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· ὑπὲρ μὲν ἀλλοτρίοις ὑμῖν χωρίοις παραδείγματα, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, ἐνδαίμοσιν ἔστε γενέσθαι. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζοντ' οἱ λέγοντες, ὅμως ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς ὅτοι νῦν· πέντε μὲν καὶ ἑξήκοντα ἔτη τ̃ Ἑλλήνων ἦρξαν ἐκόντων· πλείω δὲ ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον· ὑπῆρχε δ' ὁ ταύτην ἔχων τὴν χώραν αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι· πολλὰ δ' καὶ καλὰ, καὶ πεζῇ, καὶ ναυμαχοῦντες ἔσησαν τρόπαια αὐτοὶ στρατοῦμενοι· μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τ̃ φθονούντων κατέλιπον· ἐπὶ μὲν δὴ τ̃ Ἑλλωτικῶν ἦσαν τοιοῦτοι. Ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν, θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις· δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν, καὶ τ̃ ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τ̃ ἐπιγενομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δὲ ὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τ̃ πολιτείας ἦθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τ̃ τότε λαμπρῶν οἰκίαν εἴτις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ'

ποτ' ἐστὶν, ὁρᾷ τ' δ' γειτονῶ ὀδὲν σεμνοτέραν ὄ-
σαν. Οὐ γὰρ εἰς ὠφελείαν ἐπράττετο αὐτοῖς τὰ τ'
πόλεως· ἀλλὰ τὸ κοινὸν αὐξῆν ἕκας ὤετο δεῖν·
ἐκ δ' τὰ μὲ Ἑλληνικὰ πιστῶς, τὰ δ' πρὸς τὰς
θεὰς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, με-
γάλων εἰκότως ἐπήσαντο εὐδαιμονίαν. Τότε μὲ
δὴ τοῦτον τ' τρόπον εἶχε τὰ πράγματα ἐκείνοις
χρωμένοις, οἷς εἶπον, προσάταις· νυνὶ δ' πῶς ὑμῖν
ὑπὸ τ' χρησῶν τ' νῦν πράγματα ἔχει; ἆρά γε ὁ-
μοίως κ) παραπλησίως; κ) τὰ μὲ ἄλλα σιωπῶ,
πολλ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε
ἐρημίας ἐπλημμυρῆν, κ) Λακεδαιμονίων μὲ ἀπολω-
λότων, Θηβαίων δ' ἀχόλων ὄντων, τ' δ' ἄλλων ὀ-
δενὸς ὄντω ἀξιοχρέω περὶ τ' πρωτείων ἡμῖν ἀνθι-
στάζαι. ἔξὸν δ' ἡμῖν κ) τὰ ἡμέτερα αὐτῶν ἀσ-
φαλῶς ἔχειν, δ τὰ τ' ἄλλων δίκαια βραβεύειν· ἀπε-
στερήμεθα μὲ χώρας οἰκείας· πλείω δ' ἢ χίλια κ)
πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς ὀδὲν δέον·
ἃς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα,
εἰρήνης ὄσης ἀπολωλέκασιν ὅτοι, ἐχθρὸν δ' ἐφ' ἡ-
μᾶς αὐτὸς τηλικοῦτον ἠσκήκαμεν· ἢ φρασάτω τις
ἡμοὶ παρελθὼν πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ
παρ' ἡμῶν αὐτῶν, Φίλιππος; ἀλλ', ὦ τὰν, εἰ
ταῦτα φαύλως, τάγ' ἐν αὐτῇ τῇ πόλ νῦν ἄμει-
νον ἔχει; κ) τί ἄν τις εἰπεῖν ἔχοι; τὰς ἐπάλξεις,
ἃς κονιῶμεν; δ τὰς ὁδούς, ἃς ἐπισκευάζομεν; δ
κρήνας, δ λήρους; ἀποβλέψατε δὴ πρὸς τὰς τὰ τοι-
αῦτα πολιτευομένους, ὧν οἱ μὲ ἐκ πλουσίων πλεῖστοι
γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δ' τὰς ἰ-
δίας οἰκίας τ' δημοσίων οἰκοδομημάτων σεμνο-
τέρας εἰσὶ κατεσκευασμένοι. Ὅσῳ δ' τὰ τ' πόλεως

ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ἠυξῆσθαι. Τί γὰρ τὸ πάντων αἴτιον τούτων; ἢ τί δήποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον, καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν· καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. Νῦν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται. Ὑμεῖς δ' ὁ δῆμος ἐκκεκενδυρισμένοι καὶ ἀπεστερημένοι, χρήματα, συμμαχίας, ἐν ὑπηρετῶ καὶ προσδήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μισθοδοσίαι θεωρικῶν ὑμῖν, ἢ βοίδια πέμψωσιν ὅταν. Καὶ τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε· οἱ δὲ ἐν αὐτῇ τῇ πόλει καθειρξάντες ὑμᾶς, ὑπάγουσιν ἐπὶ ταῦτα, καὶ πιθανεύουσι, χειροήθεις αὐτοῖς ποιοῦντες. Ἐγὼ δ' ἀδέσποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ φρόνημα ἔχειν. Ταῦτα, μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέσθαι. Οὐδὲν γὰρ παρρησίᾳ χεῖρον πάντων αἰεὶ παρ' ὑμῖν ἔσται· ἀλλ' ἔγωγε, ὅτι καὶ νῦν γέγονε, θαυμάζω. ἐὰν δὲ ἄλλα νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς οὐσίαις ταῖς οἴκοι ταύταις, ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε· ἴσως ἂν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλεόν τι καὶ μέγα

κτήσαισθε

κτήσασθε ἀγαθὸν, καὶ τ τοιούτων λημμάτων
ἀπαλλαγείητε, ἃ τοῖς ἀθενοῦσι παρὰ τ ἰατρῶν
τιτίοις διδομένοις ἔοικε· καὶ γὰ ὅτε ἰσχὺν σκῆνα
ἀντιδήσιν· ὅτ' ἀποθνήσκειν ἐᾷ. Καὶ ταῦτα, ἃ νέ-
μεσθε νῦν ὑμεῖς ὅτε τοσαῦτά ἐσιν, ὥσε ὠφέλειαν
ἔχειν τινὰ Δημάρητῳ, ὅτ' ἀπογόντας ἄλλο τι πράτ-
τειν ἐᾷ, ἀλλ' ἔσι ταῦτα τὴν ἑκάσε ῥαθυμίαν ὑ-
μῶν ἐπαυξάνοντα. Οὐκοῦν σὺ μισθοφορὰν λέγεις;
φήσει τις· καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνται-
ξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τ κοινῶν ἕ-
κασ τὸ μέρ λαμβάνων, ὅτε δέοιτο ἡ πόλις,
εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. Ἔξεσιν
οὖν ἡσυχίαν ἄγειν; οἰκοι μένων εἰ βελτίων, καὶ δι' ἔν-
δειαν ἀνάγκη τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένο·
συμβαίνει τι τοιοῦτον, οἷον καὶ τὰ νῦν; σρατιώτης
αὐτὸς ὑπάρχων ἀπὸ τ αὐτῶν τούτων λημμάτων,
ὥσπερ ἐσὶ δίκαιον, ὑπὲρ τ πατρίδ. Ἔσι τις
ἔχω τ ἡλικίας ὑμῶν; ὅσα ὅτ ἀτάκτως νῦν
λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμ-
βανέτω, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράτ-
τεσθαι· ὅλως δ' ὅτ' ἀφελῶν, ὅτε προσθείς, πλὴν μικρῶν,
τὴν ἀταξίαν ἀνελὼν εἰς τάξιν ἄγαγον τὴν πόλιν,
τὴν αὐτὴν δ' λαβεῖν, δ' σρατεύεσθαι, δ' δικάζειν, δ'
ποιεῖν τοῦθ' ὅ, τι καθ' ἡλικίαν ἕκασ ἔχει, καὶ
ὅτε καιρὸς εἴη, τάξιν ποιήσας· οὐκ ἔσιν ὅπε τοῖς
μηδὲν ἐγὼ ποιοῦσι τὰ τ ποιησάντων εἶπον, ὡς δεῖ
νέμειν· ἀσὶ αὐτὸς μὲ ἀργεῖν, καὶ σχολάζειν, καὶ ἀπο-
βεῖν· ὅτι δ' οἱ δεῖνα νικῶσι ξένοι, ταῦτα πιν-
δάνεται. Ταῦτα γὰ νευὶ γίνεται· καὶ ἐγὼ μέμφομαι
τ ποιούντά τι τ δέοντων ὑπὲρ ὑμῶν· ἀλλὰ καὶ

ὑμᾶς αὐτὸς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα, ἐφ' οἷς ἑτέρους τιμᾶτε· ἢ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ἡμῶν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν κινδύνων κεκτήσαντο καταλιπόν. Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. Ὑμεῖς δ' ἑλοισθε ὅ, τι ἂν τῇ πόλει καὶ ὑμῖν αὐτοῖς συμφέρειν μέλλῃ.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Κατὰ Φιλίππε Λόγος πρῶτος.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ

Τῦ κατὰ Φιλίππυ πρώτυ Λόγυ.

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι, συνελήλυθασιν εἰς ἐκκλησιαν ἀθυμοῦντες· ὁ τοίνυν ῥήτωρ τὴν τε ἀθυμίαν πέρατα παύειν, λέγων, ὡδὲν εἶναι θαυμαστὸν, εἰ ῥαθυμοῦντες κεκράτηκε· καὶ εἰσηγεῖται, πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖν, κελεύει δὴ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω πολιτικὴν, ἥτις οἴκοι μένουσα, πρὸς τὰς τῦ ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξῃ· ἑτέραν δὲ ἐλάττονα, ξένων ὄντων τῦ στρατευομένων, παραμεμιγμένων δὲ· καὶ κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, μὴ δὲ ἐν τῦ πόλεως ποιεῖσθαι τὰς βοηθείας· ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι, πολεμοῦσαν ἀδιαλείπτως· ἵνα μὴ τὰς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος, ἢ καὶ τὰ χειμῶνα, νίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν ἀδύνατον, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῦ Ἀθηναίων ἁπάντων κρατῇ· ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις πρὸς αὐτὸν ὑπάρχῃ.

Ι μὲ περὶ καινῆ τινος πράγματος προτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπιχειρῶν ἂν ἕως οἱ πλεῖστοι τῶν ἐν ὠθότων γνώμην ἀπεφήναντο· εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν αὐτὸς ἐπιῤῥώμην καὶ γιγνώσκω λέγειν. Ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν ἕτοι πρότερον, συμβαίνει καὶ νῦν σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγνώμης τυγχάνειν· εἰ γὰρ καὶ τῶν παρελθόντος χρόνου τὰ δέοντα αὐτοὶ συνεβούλουν, ὅδ' ἂν ὑμᾶς νῦν εὖ βουλεύεσθαι· πρῶτοι μὲν ὅν σὺν ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, ὅ, τι πάνυ φαύλως ἔχειν δοκεῖ. Ὁ γὰρ ἐστὶ χείριστον τῶν σὺν παρελθόντος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. Τί δ' ἐπὶ τοῦτο; ὅτι οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν καλῶς τὰ πράγματα ἔχει· ἐπεί τοι γε εἰ πάντ' ἂν προσῆκε πραττόντων, οὕτως εἶχεν, ὅστ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. Ἔστα συνθυμητέον, καὶ παρ' ἄλλων ἀκούσασι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀπὸ μιμνησκομένοις, ἡλίκων ποτ' ἐχόντων δυναμιῶν Λακεδαιμονίων, ἐξ οὗ χρόνου ἡ πολὺς, ὡς καλῶς καὶ προσηκόντως ἅπαντ' ἂν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως ἀλλ' ὑπερμεινάσαι ὑπὲρ τῶν δικαίων καὶ πρὸς οὓς πολεμον· τίνος δ' ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν ὅτε ὑμῖν λατομουμένοις ὑμῖν ἐστι φοβερὸν, ὅτ', ἂν ὀλιγαρκῆτε τοιοῦτον, οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγματος χρώμενοι, τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων καὶ

παραλείτε δὲ δεῖ προσέχειν τοῖς πράγμασι τὴν νῦν· καὶ τῇ νῦν ὑπαρχούσῃ, δι' ἣν ταραττόμεθα, δεῖ μηδὲν φροντίζειν ὧν ἐχρῆν. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό, τε πλῆθος ᾧ νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται· λογισάσθω μέντοι τόδε, ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τόνδε οἰκεῖον κύκλῳ· καὶ πολλὰ τῶν μετ' ἐκείνους νῦν ὄντων ἐθνῶν, αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχεν, καὶ μᾶλλον ὑμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ ἐκείνῳ· εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην εἶχε τὴν γνώμην, ὡς καλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις, ἔχοντι τοιαῦτα ἐπιτηδεύματα τῆς αὐτοῦ χώρας, ἔρημον ὄντα συμμάχων, ἆρ' ἂν, ὧν νυνὶ πεποίηκεν, ἔπραξεν, ἆρ' ἂν τοσαύτην ἐκτήσατο δύναμιν. Ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μὲν ἐστιν ἅπαντα τὰ χωρία ἄθλα δὲ πολέμου κείμενα ἐν μέσῳ· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων· καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα κατέστραπται, καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἕλών τις ἔχοι πολέμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ δὴ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους, καὶ πράττειν ἐθέλοντας ἃ χρή. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐφ' ὅπερ ἀ πρότερον, καὶ ἕκαστος ὑμῶν ὃ δεῖ καὶ δύναιτ' παρασχεῖν αὐτὸν χρήσιμον τῇ πόλει, πᾶσαν

ἀφεὶς

ἀφεὶς τὴν εἰρωνείαν ἕτοιμον πράττειν ὑπάρξῃ, ὁ μ
χρήματα ἔχων, εἰσφέρειν, ὁ δὲ ἐν ἡλικίᾳ, στρατεύ
εσθαι· συνελόντι δὲ ἁπλῶς εἰπεῖν, ἢν ὑμῶν αὐτῶν
ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν ἀπ
ἕκαστον ποιήσειν ἐλπίζων, τὸ δὲ πλησίον πάντ' ὑπε
αὐτὸ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε ἅ
θεὸς θέλῃ, καὶ τὰ κατεῤῥαθυμημένα πάλιν ἀνα
λήψεσθε, κἀκεῖνον τιμωρήσεσθε· μὴ γὰρ ὡς θεῷ νο
μίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα
ἀθάνατα, ἀλλὰ μισεῖ τις ἐκεῖνον, καὶ δέδιεν, ὦ ἄν
δρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τὸ πάνυ νῦν εὐκαίρ
οἰκείας ἔχειν αὐτῷ. ἅπαντα, ὅσαπερ ἐν ἀνθρ
τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνο
χρὴ νομίζειν εἶναι· καίπ' ἠχε μέν τοι ταῦτα πα
τα νῦν σὺν ἔχοντα ἀποστροφὴν ἀφ' τὴν ὑμετέραν
βραδυθῆτα ῥᾳθυμίαν, ἣν ἀποδέσθαι φημὶ δεῖ
ἤδη. Ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα,
οἱ προελήλυθεν ἀσελγείας ἀνθρώπῳ, ὃς δὲ αἱ
ρεσιν ὑμῖν δίδωσι καὶ πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ'
ἀπλεῖ, καὶ λόγους ὑπερηφάνους, ὡς φασι, λέγει, κ
ὐκ οἷός τέ ἐστιν ἔχων ἃ κατέστραπται, μὴ φ ἐπὶ τ
των, ἀλλ' αἰεί τι προσπεριβάλλεται, καὶ κύκλῳ πα
ταχῇ μέλλοντας ὑμᾶς καὶ καθημένους περιστοιχίζει.
Πότ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε δὲ χρὴ πράξειν,
ἐπειδάν τι γένηται; ἐπειδὰν νὴ Δία ἀνάγκη τις ᾖ;
νῦν δ' τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; ἐγὼ γὰρ οἶμαι
τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγ
μάτων αἰσχύνην εἶναι· ἢ βέλεσθε, εἰπέ μοι, περι
ὄντες αὐτῶν πυθόμενοι κατὰ τὴν ἀγορὰν, λέγει
ταί τι καινόν; γένοιτο γὰρ ἂν τι καινότερον, ἢ Μα
κεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλ-

λήνων

λόνων διοικῶν; τέθνηκε Φίλιππος; ὦ μὰ Δί', ἀλλ' ἀδρενεῖ· τί σοὶ ὑμῖν διαφέρει; καὶ γὰρ ἂν ὅστις τις πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἂν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· ὥστε καὶ γὰρ ὅστις παρὰ τὴν αὐτοῦ ῥώμην τοσοῦτον ἐπηύξηκεν, ὅσον παρὰ τὴν ὑμετέραν ἀμέλειαν. Καίτοι καὶ τοῦτο (εἴ τι πάθοι, καὶ τὰ τοῦ τύχης ἡμῖν ὑπάρξοι, ἢπερ ἀεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελώμεθα, καὶ γὰρ ἐξεργάσαιτο) ἴσθ' ὅτι πλησίον μέν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιβαίνοντες, ὅπως ἂν βούλησθε διοικήσαισθε· ὡς ὁ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τοὺς καιροὺς Ἀμφίπολιν, ἐξαρκεῖ δύναισθ' ἂν ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις· ὡς μὲν ἂν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμους, ὡς ἐγνωκόσιν ὑμῶν καὶ πεπεισμένοις, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους ὅστινας χρημάτων, τἄλλα ὡς ἂν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευασθῆναι, εἶτ' οὖν πειράσομαι λέγειν· δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον, ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, εἶτα μὴ πρότερον προλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινι καινὴν παρασκευὴν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγεῖσθαι. Οὐ γὰρ οἱ ταχὺ καὶ τὴμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν, ἃ γὰρ ἂν τάχα ἤδη γεγενημένα, τῇ νυνὶ βοηθείᾳ κωλύσαι δυνηθείημεν· ἀλλ' ὃς ἂν δείξῃ, τίς πορισθεῖσα παρασκευή, καὶ πόση, καὶ πόθεν, διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον, ἢ περιγενώμεθα τῶν ἐχθρῶν· ὅταν γὰρ

ἢ ἐκέτι δ' λοιπὸν πάσχομεν ἂν κακῶς· οἶμαι τοί-
νυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλ-
λος ἐπαγγέλλεται τι· ἡ μὲν ὑπόθεσις ὅτῳ μι-
γάλη, τὸ δὲ πρᾶγμα ἤδη τ' ἔλεγχον δώσει, κεί-
ται δ' ὑμεῖς ἔσεσθε. Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες
Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαι
φημι δεῖν· εἶτ' αὐτὸς ὅτῳ τὰς γνώμας ἔχειν, ὡς
ἐάν τι δέῃ, πλεύσεον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι
πρὸς δὲ τούτοις τοῖς ἡμίσεσι τ' ἱππέων, ἱππαγω-
γοὺς τριήρεις, καὶ πλοῖα ἱκανὰ ἐντρέπεσθαι κελεύω.
Ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν, ἐπὶ τὰς ἐξαίφνης
ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτὸν στρατείας, εἰς
Πύλας, καὶ Χερρόνησον, καὶ Ὄλυνθον, καὶ ὅποι βούλε-
ται. Δεῖ γὰρ ἐκεῖνῳ τοῦτο ἐν τῇ γνώμῃ ἐκπεφευ-
σῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τὴν ἄγαν,
ὥσπερ εἰς Εὔβοιαν, καὶ πρότερόν ποτέ φασιν εἰς Ἀ-
λίαρτον, καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας, ἴσως
ἂν ὁρμήσαιτε· ὅτι παντελῶς δεῖ· εἰ μὴ ποιήσαι
ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν ἐνκαταφρόνητον εἶναι
ἐν· ἡ γὰρ τὴν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς (εἴσεται
γὰρ ἀκριβῶς, εἰσὶ γάρ εἰσιν οἱ πάντ' ἐξαγγέλλοντες
ἐκείνῳ, παρ' ὑμῶν αὐτῶν, πλείους δ' δέοντος) ἡ-
συχίαν ἕξει, ἢ παριδὼν ταῦτα ἀφύλακτον λήψε-
ται, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου
χώραν ὑμῖν, ἂν ἐνδῷ καιρός· ταῦτα μὲν ἐστιν, ἃ
πᾶσι δεδόχθαι φημὶ δεῖν, καὶ παρασκευάσασθαι
προσήκειν οἶμαι· πρὸς δὲ τούτοις δύναμίν τινα, ὦ
ἄνδρες Ἀθηναῖοι, φημὶ προχειρίσασθαι δεῖν ὑμᾶς,
ἢ συνεχῶς πολεμήσει, καὶ κακῶς ἐκεῖνον ποιήσει· μι-
σθοὶ μυρίοις, μὴ δὲ δισμυρίοις ξένοις, μὴ δὲ τοῖς ἐπι-
στολιμαίοις ταύταις δυνάμεσι, ἀλλ' ἡ τῆς πόλεως
ἔσται

ἔγω· κἂν ὑμεῖς ἕνα, κἂν πλείους, κἂν τὸ δεῖνα, κἂν ὁτινοῦν χρὴ στρατηγὸν, τούτῳ πείθεσθαι καὶ ἀκολουθήσαι· καὶ τροφὴν ταύτην πορίσαι κελεύω· ἔσται δ' αὕτη τις ἡ δύναμις, καὶ ποση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν, ἐγὼ φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς· ξένους μὲν λέγω (καὶ ὅπως μὴ ποιήσητε τοῦθ', ὃ πολλάκις ὑμᾶς ἔβλαψεν, ἅπαντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι ἐπὶ τῷ πράττειν, ὅσ' ἂν μικρὰ ποιεῖτε, ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες, τούτοις προσίθετε, ἂν ἐλάττω φαίνεται) λέγω δὴ τοὺς πάντας στρατιώτας διχιλίους· τούτων δ', Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἂν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν, καὶ ἀμοιβοὺς ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους εἶναι κελεύω· καὶ μὴ τούτων ἱππέας διακοσίους, καὶ τούτων πεντήκοντα Ἀθηναίους τελέχιστον, ὥσπερ τοὺς πεζοὺς τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγωγοὺς τούτοις· εἶεν· τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα· δεῖ γὰρ ἔχοντος ἐκείνου ναυτικὸν, καὶ ταχέων τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλεῖ. Πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω, καὶ δείξω, ἐπιδάν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν, καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω· τοσαύτην μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ὑμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παρατασσομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ δεῖ πολεμεῖν χρῆσθαι τὴν πρώτην· ἐπειδὴ τοίνυν δεῖ θ' ἑτέραν οὕτω

αὐτὴν

αὐτὴν (ὁ γάρ ἐστι μισθὸς, ὁδὲ τροφὴ) ὁδὲ παντ
λῶς ταπεινὴν εἶναι δεῖ· πολίτας ὃ παρεῖναι, κ
συμπλεῖν. Ἀφ' ταῦτα κελεύω, ὅτι κὴ πρότερον π
ἀκήκοα ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, ὃ Π
λύτραλος ἡγεῖτο, κὴ Ἰφικράτης, κὴ Χαβρίας, κ
ἄλλοι τινὲς, κὴ ὑμᾶς αὐτὸς συστρατεύεσθ· κὴ οἶδ
ἀκήκοα ὅτι Λακεδαιμονίοις παρατατόμενοι μεθ' ὑ
μῶν, ἐνίκων ὅτοι οἱ ξένοι, κὴ ὑμεῖς μετ' ἐκείνω
ἐξ ὧ δ' αὐτὰ τὰ ξενικὰ ὑμῖν στρατεύε), τὰς φ
λας νικᾶ, κὴ τὰς συμμαχίας, οἱ δ' ἐχθροὶ μ
ζους ἔθεσ γεγόνασι, κὴ παρακύψαντα ἐπὶ τ
τ πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον, κὴ παντα
μᾶλλον οἰκεῖαι πλέονται· ὁ δ στρατηγὸς ἀκολεύ
εἰκότως· ὁ γάρ ἐστιν ἄρχειν μὴ διδόντα μισθὸν τ
ὃν κελεύω; τὰς προφάσις ἀφελεῖν, κὴ ἔ στρατηγ
κὴ τ στρατιωτῶν, μισθὸν πορίσαντας, κὴ στρατ
οἰκείας ὥσπερ ἐπόπλας τ στρατηγημάτων παρακα
τασήσαντας· ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθ
τοῖς πράγμασιν. Εἰ γὰρ ἔροιτό τις ὑμᾶς, Εἰσπ
ἄγετε, ὦ ἄνδρες Ἀθηναῖοι; μὰ Δί' οὐχ ἡμεῖς γ
εἴποιτ' ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν· οὐκ ἐχθ
τονεῖτε δ ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχας, κ
στρατηγὸς, κὴ Φυλάρχους, ἱππάρχους δύο; τ
ὃν ὅτοι ποιοῦσι, πλὴν ἑνὸς ἀνδρὸς, ὃν ἂν σπεύδ
τε ἐπὶ τ πόλεμον; οἱ λοιποὶ τὰς πομπὰς πεμ
πουσιν ὑμῖν μετ τ ἱεροποιῶν· ὥσπερ γὰρ οἱ πλατ
τες τὰς πηλίνας, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τ
ταξιάρχας κὲ τὰς Φυλάρχους, οὐκ ἐπὶ τ πόλ
μον· ὁ γὰρ ἐχρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, ταξιάρχ
παρ' ὑμῶν, ἱππάρχας παρ' ὑμῶν, ἄρχοντας οἰκ
ους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τ πόλεως ἡ δύναμι
ἀλ

ἀλλ' εἰς μὲν Λῆμνον, τὰ παρ' ὑμῶν ὑπάρχον δεῖ πλεῖν, τὰ δ' ἐκ τῆς πόλεως κτημάτων ἀγωνιζομένων, Μενέλαον ὑπάρξειν· καὶ ὁ τὰ ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον εἶναι τοῦτον, ὅς τις ἂν ᾖ. Ἴσως δὴ ταῦτα μὲ ὀρθῶς ἠγεῖσθε λέγειν· τὸ δὲ τὰ χρημάτων πόσα καὶ πόθεν ἔσαι, μάλιστα ποθεῖτε ἀκοῦσαι· τοῦτο δὴ καὶ παραινῶ· χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφὴ, σιτηρέσιον τοῖς στρατευομένοις μόνον, τῇ δυνάμει ταύτῃ, τάλαντα ἑννενήκοντα, καὶ μικρόν τι πρός· δέκα μὲν ναυσὶ ταχείαις τετταράκοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν μναῖ ἑκατὸν ἑκάστῃ· στρατιώταις δὲ χιλίοις, τοσαῦτα ἕτερα, ἵνα δέκα ἕκαστος δραχμὰς σιτηρέσιον λαμβάνῃ· τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ καὶ μισθὸς, δώδεκα τάλαντα· εἰ δέ τις μικρὰν ἀφορμὴν, σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρξειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς, ὅτι εἰ τοῦτο γένηται, προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν, οὐδὲ τῶν συμμάχων, ὡς ἔχον μισθὸν ἀντελῆ· κἀγὼ συμπλέων ἐθελοντὴς, πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦτ' οὕτως ἔχῃ· πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ' ὑμῶν κελεύω, γενήσεται, τοῦτ' ἤδη λέξω.

ΠΟΡΟΥ ΑΠΟΔΕΙΞΙΣ.

Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτά ἐστιν· ἐπιδὰν δὲ ἐπιχειροτονήσητε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ, χειροτονήσατε,

ἵνα μὴ μόνον τοῖς ψηφίσμασι, ⸌ ταῖς ἐπιστολαῖ
πολεμῆτε Φιλίππῳ, ἀλλὰ καὶ τοῖς ἔργοις· δοκεῖ
δέ μοι πολὺ βέλτιον ἂν εἶναι ⸌ πολέμου, καὶ ὅλ
τὴν παρασκευὴν βουλεύσασθαι, εἰ τὸν τόπον, ὦ ἄνδρ
Ἀθηναῖοι, τὴν χώραν, πρὸς ἣν πολεμήσετε, σύ
μηθείητε, καὶ λογίσαισθε, ὅτι τοῖς πνεύμασι, κ
ταῖς ὥραις ⸌ ἔτεσι τὰ πολλὰ προλαμβάνων ἡμ
πράττε⸌ Φιλίππῳ· καὶ φυλάξας τὰς ἐτησίας
τὸ χειμῶνα ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ δυνώμε
σκεῖσε ἀφικέσθαι. Δεῖ τοίνυν ὑμᾶς ταῦτα σκέ
μεμφύσι, μὴ βοηθείαις πολεμεῖν (ὑστερεῖσθαι γὰ
πάντων) ἀλλὰ παρασκευῇ συνεχεῖ, καὶ δυνάμ
ὑπάρχειν σ' ὑμῖν χρήσασθαι μὲ χρῆσθαι τῇ δυνάμ
Λήμνῳ, καὶ Θάσῳ, καὶ Σκιάθῳ, καὶ ταῖς ἄλλαι
ταῖς ἐν τούτῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμέν
καὶ σῖτος, καὶ ἃ χρὴ στρατεύμασι, πάνθ' ὑπάρχ
τὴν σ' ὥραν ⸌ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσ
ῥᾴδιον, ⸌ τὸ τ' πνευμάτων ἀσφαλὲς πρὸς αὐτ
τῇ χώρᾳ, καὶ πρὸς τοῖς τ' ἐμπορίων σώμασι, ῥᾳ
δίως ἔχει. Ἃ μὲν ἂν χρήσῃ καὶ ποτε τῇ δυνάμ
παρὰ τὸν καιρὸν, ὁ τούτων κύριος καταστὰς βο
ὑμῶν βουλεύσε⸌· ἃ σ' ὑπάρξαι δεῖ παρ' ὑμῶ
ταῦτ' ἐστιν ἃ ἐγὼ γέγραφα. Ἂν ταῦτα, ὦ ἄνδρ
Ἀθηναῖοι, πορίσητε τὰ χρήματα, πρῶτον μ
γω, εἶτα καὶ τἄλλα πάντα παρασκευάσαιμ
στρατιώτας, τὰς τριήρ⸌, τὰς ἱππέας, συντελῆ π
σαν τὴν δύναμιν νόμῳ καταλείσητε ἐπὶ τῷ π
λέμῳ μόνῳ. Τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι,
πορισαὶ γιγνόμενοι, τ' ὧν πράξεων παρὰ ⸌ στρατ
γὰ τ' λόγον ζητοῦντες παύσιθ' ἀεὶ τὸ αὐτ
βουλόμενοι, καὶ πλέον ἀδὲν ποιοῦντες· καὶ ἔτι πρ
τοῦτ

τούτοις, πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ μέγιστον τῶν ὑπαρχόντων ἀφαιρήσεσθε· ἔστι δ' ὅστις τίς; ὁ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν· ἔπειτα τί πρὸς τοῦτο; ὃν πάλαι μὲν αὐτοὶ κακῶς ἔχω γενήσεσθε· νῦν ὥσπερ τὸ παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν αἰχμαλώτους πολίτας ὑμετέρους ἄγει, καὶ πρὸς τῷ Γερραίῳ τὰ πλοῖα συλᾷ, ἀμυθήτου χρήματα ἐξελεξε· τὰ τελευταῖα δ' εἰς Μαραθῶνα ἀπέβη, καὶ τὴν ἱερὰν ὑπὸ τὸ χώρας ᾤχετ' ἔχων τριήρη· ὑμεῖς δ' ὅτε ταῦτα πάντα κωλύειν, ὅτ' εἰς τοὺς χρόνους ἂν προεβοηθεῖν, Καί τοι τί δήποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων ἀεὶ καθήκοντος χρόνου γίγνεσθ', ἄν τε ὀφλοὶ λάχωσιν, ἄν τε ἰδιῶται οἱ τούτων ἑκατέρων ἐπιμελησόμενοι, εἰς ἃ τοσαῦτα καταλίσκετε χρήματα, ὅσα ἅπαντ' εἰς ἕνα τῶν ἀπάντων, καὶ τοσοῦτον ὄχλον καὶ τοσαύτην παρασκευήν, οὐκ οἶδ' εἴ τις τῶν ἁπάντων ἔχει· τοὺς μὲν ἄλλους πάντας ὑμῖν ὑπερίζειν τοῦ καιροῦ, τὸν εἰς Μεθώνην, τὸν εἰς Παγασάς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ προεῖδεν ἕκαστος ὑμῶν ἐν πολλῷ, τίς χορηγός, ἢ γυμνασίαρχος τὴν φυλῆς, ποτέ, καὶ παρὰ τίνος, καὶ τί λαβόντα, καὶ τί δεῖ ποιεῖν ἑκάστους. ἀλλ' ἀόριστον ἐν τούτοις ἠμέληται· ἐν δὲ τοῖς νῦν ὑπὲρ πολέμου, καὶ τὴν τούτου παρασκευήν, ἄτακτα, ἀόριστα, ἀδιόρθωτα ἅπαντα. Τοιγαροῦν ἅμα ἀκηκοαμέν τι, καὶ τριηράρχους καθίσαμεν, καὶ τούτοις ἀντιδόσεις ποιούμεθα, καὶ περὶ χρημάτων πόρου σκοποῦμεν· καὶ μὴν ταῦτα

ἐμβάινῃ τὰς μετοίκους ἔδοξε, ἢ τὰς χωρὶς οἰκήσαντας, εἶτ' αὐτὰς πάλιν ἀντεμβιβάζῃ· εἶτ', ἐν ὅσῳ ταῦτα μέλλετε, προαπόλωλεν ἐφ' ἃ ἂν σκηπλέωμεν. Τὸν γὰρ ἓξ πράξεῖν χρόνον, εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν· οἱ δὲ τὰ πραγμάτων καιρὸν μένουσι τὴν ἡμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν· ἃς δὴ εἰς τὸ μεταξὺ χρόνον δυνάμεις διόμεθα ἡμῖν ὑπάρχειν, ἀδὲν οἷαί τε ὦσαι ποιεῖν, ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται· ὅσῃ δὲ εἰς τοῦτ' ὑβρεως ἐληλυθεν, ὡς' ἐπισέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς.

ΕΠΙΣΤΟΛΗ Γ'.

ΤΟΥΤΩΝ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ἀνεγνωσμένον, ἀληθῆ μέν ἐστι τὰ πολλὰ, ὡς ὅτι ἔδη, ἀ μὴν, ἀλλ' ἴσως οὐχ ἡδέα ἀκοῦειν· ἀλλ' εἰ μὲν ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, ἢ τὰ πράγματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν, δημηγορεῖν εἰ δὲ ἡ τῶν λόγων χάρις ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημίαν γίγνεται, αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φεναπίζειν ἑαυτοὺς, καὶ ἅπαντ' ἀνακαλλωπίζεσθαι, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερίζειν τῶν ἔργων, ἢ μηδὲ τοῦτο δύνασθαι μανθάνειν, ὅτι δεῖ τοὺς ὀρθῶς πολεμῶν χρωμένους, ὥσπερ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων ἢ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων αὐτῶν ὡσθεν ἂν τις τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω ἢ τῶν πραγμάτων τοὺς εὖ βεβουλευμένους ἡγεῖσθαι χρὴ, ἵνα ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, ἢ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν. Ὑμεῖς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων ἐχόντες

τριήρεις

τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον, τέτταρα μὲν μέχρι τοῦ τήμερον ἡμέρας, ὑδενὶ πώποτε ἐνδεουτι κέχρησθε, ὑδενὸς ἂν ἀπολείπεσθε· ὥσπερ ἂν οἱ βάρβαροι πυκτεύσουσιν, ἕτω πολεμεῖτε Φιλίππῳ. Καὶ γὰρ ἐκείνων ὁ πλήγεις ἀεὶ τοῦ πλήγης ἔχεται, κἂν ἑτέρωσε παταίξῃ τις, ἐκεῖσε εἰσιν αἱ χεῖρες· προσάλλεσθαι δ', ἢ βλέπειν ἐναντίον, ἕτ' οἶδεν, ἕτ' ἐθέλει· κἀ ὑμεῖς ἐὰν μὲν Χερρόνησον πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν δὲ Πύλαις, ἐκεῖσε· ἐαν ἄλλοθί που, συμπαραθεῖτε ἄνω καὶ κάτω, καὶ στρατηγεῖσθε μὴ ὑπ' ἐκείνου, βεβούλυσθε δ' ἂν ὑδὲν αὐτοῖς συμφέρον πρὸς τὸν πόλεμον, ὑδὲ πρὸς τὰ χρήματα προορᾶτε ὑδέν, πρὶν ἂν ἢ γεγενημένον, ἢ γιγνόμενόν τι πύθησθε· ταῦτα δ' ἴσως πρότερον μὲν ἐνῆν ποιεῖν, νῦν δ' ἐπ' αὐτὴν ἥκει τὴν ἀκμήν, ὡς ἔοικέ γ' ἐγχωρεῖ. Δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως ἀισχυνόμενος, τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν Φιλίππῳ· εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ προείληφεν, ἡσυχίαν ἔχειν ἤθελε, καὶ μηδὲν ἔπραττεν ἔτι, ἀπορρῆν ἂν οἱοις ὑμῶν ἄν μοι δοκεῖ, ἐξ ὧν ἀισχύνην, καὶ ἀνανδρίαν, καὶ πάντα τὰ αἰσχιστα ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχθρῶν ἀεί τινι, καὶ πλείοσιν ὀρεγόμενος, ἴσως ἂν σκαλέσαιθ' ὑμᾶς, ὑπὲρ μὴ παντάπασιν ἑαυτῶν ἀπεγνώκατε. Θαυμάζω δ' ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται, μήτε λογίζεται, ὁρῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην πρὸς τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δ' τελευτὴν ἔσαν ἤδη, ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὺς κακῶς ὑπὸ τοῦ Φιλίππου· ἀλλὰ μὴν ὅτι γε ἀ σήσεται, δῆλον, εἰ μή τις αὐτὸν κωλύσῃ·

εἶτα τοῦτο ἀναμβυβμβ, ⸌ τριήρεις κενὰς, ⸌ τὰς παρὰ ⸌ θεῶν ⸌ ἐλπίδας ἐὰν ἀποσείλητε, πάντ' ἴσχυν οἴεσθε καλῶς; σὸκ ἀβοησόμεθα; σὸκ ἐξιμβ αὐτοὶ μέρος γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ ⸌ μὴ πρότερον; σὸκ ἐπὶ τὴν ἐκείνε πλεῦσόμεθα; ποῖ δὴ προσορμισόμεθα; ἤρετό τις· ἐυρήσομεν τὰ σαθρὰ τ̄ ἐκείνε πραγμάτων, ὦ ἄνδρες Ἀθηναῖοι, αὐτὸς ὁ πόλεμ⸌, ἂν ἐπιχειρῶμβ· ἂν μὲν τοι καθώμεθα οἴκοι, λοιδορεμβμένων ἀκούοντες ⸌ ἀντιωμβμένων ἀλλήλοις τ̄ λεγόντων, ὃ ἢ ποτ' ἐδὲν ἡμῶν ὃ μὴ γένηται τ̄ δεόντων· ὅποι μὲ γ̄ ἂν οἶμαι μέρ⸌ τι τ̄ πόλεως σωαποσαλῇ, κἂν μὴ πᾶσα παρῇ· ⸌ τὸ τ̄ θεῶν ἐυμβὲς, κ τὸ τ̄ τύχης ἡμῶν σωαγωνίζεται· ὅποι σ' ἂν στρατηγὸν ⸌ ψήφισμα κενὸν, ⸌ τὰς ἀπὸ β̄ βήματ⸌ ἐλπίδας ἐκπέμψοιτε, ὃ δὲν ἡμῖν τ̄ δεόντων γίγνεται· ἀλλ' οἱ μὲ ἐχθροὶ καταγελᾶσιν, οἱ ἢ σύμμαχοι τεθνᾶσι τῷ δέει, τὰς τοιάτας ἀποσόλας· ὃ γάρ ἐσιν, σὸκ ἔσιν ἕνα ἄνδρα ἂν δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπανθ', ὅσα βέλεσθε· ὑποχέαβ μὲν τοι ⸌ φῆσαι, ⸌ τ̄ δεῖνα αἰτιάσαβ, ⸌ τ̄ δεῖνα, ἔσι, τὰ ἢ πράγματα σὺ τούτων ἀπόλωλεν. Ὅταν γ̄ ἡτήσηαι μὲ ὁ στρατηγὸς ἀθλίων ἀπεμίσθων ξένων, οἱσ' ὑπὲρ ὧν ἂν ἐκείνος ἐκεῖ πράξῃ, πρὸς ὑμᾶς ψόδόμβμοι, ῥᾳδίως ἐνθένδε ὦσιν ὑμεῖς σ' ἐξ ὧν ἂν ἀκέσητε, ὅ, τι ἂν τύχῃ ῥᾳδίως χηφίζησθε· τί ⸌ χρὴ προσδοκᾶν; πῶς ἂν ταῦτα παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς ἀποδείξητε στρατιώτας ⸌ μάρτυρας τ̄ στρατηγεμβμένων, ⸌ δικασὰς οἰκαδε ἐλθόντας τ̄ ἐυθυνῶν· ὃ γ̄ ἀκέσῃ μόνον ὑμᾶς τὰ ὑμέτερα αὐτῶν, ἀλλὰ ⸌ παρόντας ὁρᾷ

δεῖ· νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα ἀναιδείας, ὥστε τοῦ στρατηγῶν ἕνα ὁντιν' οὖν εἶναι τρὶς κρίνεσθαι παρ' ὑμῖν περὶ θανάτου· πρὸς δὲ τούτοις ἐχθρὸς, ὃν δεῖ καὶ πάντ' αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τοῦ ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱρεῖσθαι καὶ προσήκον. κακούργου μὲν γάρ ἐστι, κριθέντα ἀποθανεῖν· στρατηγοῦ δέ, μαχόμενον τοῖς πολεμίοις· ὑμῶν δὲ οἱ μὲν φεύγοντες, μὴ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν, καὶ τὰς πολιτείας ἁπάσας, οἴδ' ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα, οἴδ' ἐν Ἰλλυριοῖς πόλεις τρίζειν, οἱ δέ, λόγους πλάττοντες, ἕνα σοῦ περιέχωμεθα. Ἐγὼ δ' οἶμαι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεούς, σκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων, καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τὴν τ' ἐρημίαν τῶν κωλυόντων ὁρῶντα, καὶ τοὺς πεπραγμένους ἐπηρμένον· ἃ μὴ μὰ Δία οὕτω προαιρεῖσθε πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ὑμῖν εἰδέναι, τί μέλλει ποιεῖν σκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες· ἀλλ' ἐὰν ἀφέντες ταῦτα, σκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος, καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ, καὶ χρόνον πολὺν ὑφορᾶται, καὶ ἅπαντα ὅσα πώποτε ἠλπίσαμέν τινα πράξειν ὑπὲρ ὑμῶν, καθ' ὑμῶν εὑρῆσθαι, καὶ τὰ λοιπὰ σὺν ὑμῖν αὐτοῖς ἐστι· κἂν μὴ νῦν ἐθέλωμεν σκεῖ πολεμεῖν αὐτῷ, σὺν θάδε ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες, καὶ λόγων ματαίων ἀπηλλαγμένοι· ἃ γὰρ ἄτοπα ποτ' ἔστι δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ προσέχητε τοῖς πράγμασι τὸν νοῦν, καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητε, εὖ εἰδέναι.

Ἐγὼ

Ἐγὼ μὲν ἔν, ἔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἰλ-
μιλω λέγω, ὅ, τι ἂν μὴ κ συνοίσῃ ὑμῖν πεφρ-
μηκὼς ὦ, νῦν τε ἃ γιγνώσκω, πάνθ' ἁπλῶς, ἀδέ-
ὑποφλάμμων, πεπαῤῥησίασμαι. Ἑβελόμιλω δ
ἂν, ὥσπερ ὅ, τι ὑμῖν συμφέρῃ, τὸ τὰ βέλτιστα ἀ-
κέειν οἶδα, ἔτως εἰδέναι συνοῖσον κ τῷ τὰ βέλ-
τιστα εἰπόντι· πολλῷ γὰ ἂν ἡδιον εἶπον, νῦν δ' ἐπ
ἀδήλοις ἔσι τοῖς ἀπὸ τύτων ἐμαυτῷ γενησομένοις
ὅμως ἐπὶ τῷ συνοίσῃ ὑμῖν, ἐὰν πράξητε ταῦτα
πεπεῖσθε, λέγω αἱρῆμαι νικήσῃ δ' ὅ, τι πᾶσιν ὑ
μῖν μέλλῃ συνοίσειν.

ΔΗΜΟΣΘΕΝΟΥΣ
Κατὰ Φιλίππου Λόγος δεύτερος.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ
Τῦ κατὰ Φιλίππου δευτέρου Λόγου.

Παραινεῖ ἀφ' ὧ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ Ῥήτωρ, πολέμιον ὑποπτεύειν τὸν Φίλιππον, καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιστεύειν, ἀλλὰ ἐγείρειν καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι, καὶ εὐτρεπίζειν εἰς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις, καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον· καὶ τοῦτο αὐτῦ καταμαρτυρῶν, πράξειν φησίν· ἐπαγγέλλεσθαι γὰρ καὶ ἀποκρίσεις δώσειν, πρός τινας πρέσβεις ἥκοντας, ἀπορρήτων τῶν Ἀθηναίων ὁπότε ἀποκρίνασθαι δεῖ· πόθεν γὰρ ἔτοι, καὶ πρὸς τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, οὐκ ἂν δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν· κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι ἀφορμὰς ἄλλοσε ἄλλοις μάτην πρὸς τοὺς Ἕλληνας, ὡς ἐπαγγελλόμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, ψευσάμενον δέ· οὐδὲ γὰρ ὑπισχνεῖσθαί φησιν, οὐδὲ ἐψεῦσθαι· καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. Ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ ἕτοι τὸν δῆμον

δῆμον, ὅτι Λακεδαιμονίοις καταδεδεμένοις τὴν Πελοπόννησον εὖνους τέ ἐστι καὶ συγκρατεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ἀναντίῤῥητα· ἀπορῶσιν ἂν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως, καὶ πρὸς τὰς πόλεις, ὅτι εὖνοι μὲν εἰσι Λακεδαιμονίοις, καὶ τὴν τῶν Ἀργείων καὶ Μεσσηνίων μετὰ Φιλίππου συσσασιν ἢ μισοῦσι ἢ ὑποπτεύουσιν, ἃ μὴν ἀποφήναιδ' ἂν δίκαια πράττειν τοὺς Λακεδαιμονίους· πρὸς δὲ τὸν Φίλιππον, ἀδικημάτησι μὲν ὧν ἤλπισαν· ἃ μὴν ὑπ' ἐκείνου γε αὐτοῖς δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν ἀδικίαν, ὅτε μὲν τὰ ἰδίων πρεσβειῶν ἐποιήσατό τινα ὑπόχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες, ὡς Φίλιππος Φωκέας σώσει, καὶ τὴν Θηβαίων ὕβριν καταλύσει. Διὰ τοῦτο ὁ Δημοσθένης τὰ ἀποκρίσεων μνησθεὶς, ἐπαγγέλλεται μὴ αὐτὰς δώσειν· φησὶ γὰρ, ὅτι δίκαιον ἦν, τοὺς τὴν δυσχέρειαν πεποιηκότας, ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντας φησὶ τὸν δῆμον, καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας· ταῦτα γὰρ εἰς τὸν Αἰσχίνην ἀναφέρεται, προκατασκευαζόμενος, ὡς φασι, τὴν κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεγκήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

ΟΤΑΝ, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περὶ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην ἀεὶ, τοὺς ὑπὲρ ὑμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους, καὶ λεγόν

λέγειν μὲν ἁπάντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον δ' ὀδεῖν, ὡς ἔπος εἰπεῖν, τῶν δεόντων, οὐδ' ὧν εἵνεκα ταῦτα ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτο ἤδη προήμμενα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥστε ὅσῳ τις ἂν μᾶλλον & φανερώτερον ἐξελέγχῃ Φίλιππον, & τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα, & πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεύσαι χαλεπώτερον εἶναι. Αἴτιον δὴ τούτων, ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας, ἐρίζω κωλύειν & πράξεσιν, οὐχὶ λόγοις δεῖ· πρῶτον μὲν ὑμεῖς οἱ παριόντες, τούτων μὲν ἀφέσεσθαι & γράφειν & συμβουλεύειν, ἀφ' ὧν τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες· οἷα ποιεῖ δή, ὡς δεινὰ & χαλεπὰ & τοιαῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους, & λέγουσιν ἄλλοι συνίητε, ἅμαξαν Φιλίππου παρεσκευάσθε· ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα, ἐφ' οἷς ἔστι νῦν, παντελῶς ἀργῶς ἔχετε· συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον οἶμαι, & ἴσως εἰκός, ἐν οἷς ἕκατεροι ἀφιστᾶσθε, & ὧδ' ἀσπαζόμενοι ταῦτ' ἄμεινον ἑκατέροις ἔχειν, ἐκεῖνο μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι. Εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον καὶ πόνου δεῖς πρόσεστι τῷ πράττειν· εἰ δ' ὅπως τὰ παρόντα ἐπανορθωθήσεται δεῖ σκοπεῖν, & μὴ προελθόντα ἔτι πορρωτέρω λήσει πάντας ἡμᾶς, μὴ δ' ἐπισήσει μεγάλου δυνάμεως, πρὸς ἣν δεῖ ἀντάραι δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὥσπερ πρότερον ἔδει βουλεύσασθαι· ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι, καὶ ταῖς γνώμαις ὑμῖν, τὰ βέλτιστα καὶ τὰ σώσοντ' ἀντὶ τῶν ῥᾳστῶν καὶ τῶν ἡδίστων προαιρετέον,

τέον. Πρῶτον μὲν ἔν εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαῤῥῇ, ὁρῶν ἡλίκῳ ἤδη ἐστὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τὸ πόλῃ, μήσθ' ἑφ' ὑμᾶς πάντα ταῦτα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι, τοὺς λογισμοὺς ἀκοῦσαί μου μὴ βραχέων, δι' ὧν τὰ ἐναντία μοι παρέσηκε προσδοκᾶν, καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον· ἵν', ἐὰν μὲν ἐγὼ δοκῶ βέλτιον τῶν ἄλλων προορᾶν, ἐμοὶ πίσθῆτε· ἐὰν σθ' οἱ θαῤῥοῦντες καὶ πεπιστεύκοτες αὐτοῖς τούτοις πρόσθησθε. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι, τίναν ὁ Φίλιππος κύριος πρῶτον μὲν τὴν εἰρήνην κατέσχη, Πυλῶν, καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων· τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἆ Θηβαίοις συμφέρῃ, καὶ οὐχ ἃ τῇ πόλῃ, πράττειν προείλετο· τί δή ποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάντ' ἐφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐ πρὸς εἰρήνην, οὐθ' ἡσυχίαν, οὐδὲ δίκαιον οὐδέν, οἶδε τοῦτ' ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλῃ, καὶ τοῖς ἡμετέροις ἤθεσιν οὐδὲν ἂν ἐνδείξατο τοιοῦτον, οὐδὲ ποιήσειν, ὑφ' οἷς πεισθέντες ὑμεῖς, τὰ ἰδίας ἕνεκα ὠφελείας, τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ πρόεισθε· ἀλλὰ καὶ οἷς δικαίως λόγον ποιήσωμαι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, οὐ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναντίως ἔσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε. Τὰς γὰρ Θηβαίους ἡγεῖτο, οὐχ ὥσπερ συνέδη, ἀντὶ τῶν ἑαυτοῦ γιγνομένων, τὰ λοιπὰ ἐᾶσειν ὅπως βούλεται πράττειν αὐτόν, οὐ μὴν ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ συστρατεύσειν ἂν αὐτῷ κελεύων· καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς

Ἀργείους

Ἀργείους ταῦτα ὑπωφληφὼς, εὖ ποιεῖ, ὁ κὴ μέγιστον ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθηναῖοι· κέκρικε γὰρ ἐκ τούτων τῶν ἔργων, μόνοι τῶν πάντων, μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μὴ ἢ ἀντιλαβέσθαι μισθαρνίας χάριτος μὴ ἢ ὠφελείας, τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν· κὴ μὴ ταῦτ' εἰκότως, κὴ ὑμῖν ὕστως ὑπείληφε, κὴ καὶ Ἀργείων κὴ Θηβαίων ὡς ἑτέρως, ὁ μόνον εἰς τὰ παρόντα ὁρῶν, ἀλλὰ κὴ τὰ πρὸ τούτων λογιζόμενος. Εὑρίσκει γὰρ, οἶμαι, κὴ ἀκούσας, τοὺς μὲν ἡμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὡς αὐτοὺς ὑπακούειν βασιλεῖ, ὁ μόνον οὐκ ἀναχωρήσας τὸν λόγον τοῦτον, ἡνίκα ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος ἐπὶ τούτων κήρυξ, ἀλλὰ κὴ τὴν πόλιν ἐκλιπεῖν προελόμενος, κὴ παθεῖν ὅτιοῦν ὑπομείναντας, καὶ μὴ ταῦτα, πράξαντας ταῦτα, ἃ πάντες μὲν ἀεὶ γλίχονται λέγειν, ῥᾴδιως δ' εἰπεῖν ἁπάντων δεδύνηται. Διόπερ κἀγὼ παραλείψω δικαίως· ἔστι γὰρ μείζω τὰ ἐκείνων ἔργα, ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι τοὺς μὲν Θηβαίων κὴ Ἀργείων προγόνους, τοὺς μὲν συστρατεύσαντας τῷ Βαρβάρῳ, τοὺς δὲ οὐκ ἀναντιωθέντας· οἶδεν ἕκαστον ἡμῶν ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, ἐκ ὅ, τι συμφέρει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. Ἡγεῖτο μὲν, εἰ μὴ ὑμᾶς ἔλοιτο φίλους ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι· εἰ δὲ δὴ ἐκείνοις προσέθετο, σωσέργους ἕξειν τῶν αὐτῶν πλεονεξίας. Διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν κὴ πάλαι κὴ νῦν αἱρεῖται· ὁ γὰρ δὴ τρισὶν ἔτεσι ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν συνόντας, ὁρᾷ μὲν τῇ μεσογείᾳ μόνα ἀρχὴν εὑρηκὼς· τὸ δὲ ἐπὶ τῇ θαλάττῃ κὴ τὸ πανταχοῦ ἀφέσθαι ἐποίησεν· ὁρᾷ δ' ἀμυνομένους τοὺς λόγους, ὁρᾷ δὲ

τὰς ὑποχέσεις, ἐφ' αἷς τ' εἰρήνης ἔτυχεν· ἀλλὰ μ
Δία εἴποι τις ἄν, ὡς πάντα ταῦτα εἰδὼς, ὁ πλε
ονεξίας ἕνεκεν, ὅσ' ὧν ἐγὼ κατηγορῶ, τότε ταῦτ'
ἔπραξεν, ἀλλὰ τῷ δικαιοτέρους ἀξιῶν τοὺς Θηβαίους
ἢ ἡμᾶς· ἀλλὰ τοῦτον μὲν οὐδὲν τῶν λόγων πάντων
οὐκ ἔνεστ' αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσηνίοις Λακε
δαιμονίοις ἀφιέναι κελεύων, πῶς ἂν Ὀρχομενὸν, καὶ
Κορώνειαν τότε Θηβαίοις παρασθῶ, τῷ δίκαια νο
μίζειν ταῦτ' εἶναι πεποιηκέναι ἐσκήψατο; ἀλλ'
ἐβιάσθη νὴ Δία, τοῦτο γὰρ ἔσθ' ὑπόλοιπον, καὶ παρα
γνώμην τῶν Θετταλῶν ἱππέων, καὶ τῶν Θηβαίων ὁ
πλιτῶν ἐν μέσῳ ληφθεὶς, συνεχώρησε ταῦτα;
καλῶς. Οὐκοῦν φασι μὲν μέλειν πρὸς τοὺς Θηβαί
ους αὐτὸν ὑποπτως ἔχειν, καὶ λοιδοροῦσί τινες ὡς εἰ
ὸντες, ὡς Ἐλάττειαν τείχιει· ὁ δὲ ταῦτα μὲν μελή
κὲ μελήσει γε, ὡς ἐγὼ κρίνω· τοῖς Μεσσηνίοις
καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συνέσ
βαλλεν ὁ μέλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει, καὶ χρή
ματ' ἀποστέλλει, καὶ δύναμιν μεγάλην ἔχων αὐτὸς
ἔστι προσδόκιμος. Τοὺς μὲν οὖν ὄντας ἐχθροὺς Θη
βαίων Λακεδαιμονίους ἀναιρεῖ· ὃς δ' ἀπώλεσε
αὐτὸς πρότερον, Φωκέας, νῦν σώσει· καὶ τίς ἂν ταῦ
τα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐδ' ἂν ἡγοῦμαι Φίλιπ
πον, ὅτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν, οὐ
ἂν εἰ νῦν ἀπεγίνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχ
θροῖς συνεχῶς ἐναντιοῦσθ'· ἀλλὰ ἀφ' ὧν νῦν ποιεῖ
κἀκεῖνα σκ προαιρέσεως δῆλός ἐστι ποιήσας· ο
πάντων δ' ἁ τις ὀρθῶς θεωρεῖν, ὅτι πάντα πρα
γματεύεται καὶ τὰ τῆς πόλεως σωτάτ' ἔχειν· καὶ τοῦτ' ἐξ
ναγκης τρόπον τινὰ αὐτῷ νῦν γε δὴ συμβαίνει· λ
γίζεσθε γὰρ, ἀρχὴν βέλεται. Τοῦτο δ' ἀνταγωνισ
μοῦ

μόνους ὑπείληφεν ὑμᾶς· ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄρισα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ ἔστιν ἡμετέροις ἔχθρα χρῆται, τούτοις πάντα τὰ ἄλλα ἀσφαλῶς κέκληται. Εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν πρόοιτο, εἰκὸς ἂν οἶκοι μᾶλλον βεβαίως ἥξειν, ἀμφότερα ἂν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὐτὸν μισεῖν νομίζῃ, καὶ παροξύνται, πέπεισταί τι κακὸν προσδοκῶν, ἐὰν καιρὸν λάβητε, ἐὰν μὴ πρότερον φθάσῃ ποιήσας. Ἃ δὴ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν ἐπὶ τῇ πόλει, θεραπεύει τινὰς Θηβαίων, καὶ Πελοποννησίων τοὺς ταῦτα βουλομένους πράττω, ὡς ἅπαντ' ἐμοὶ πλεονεξίαν, τὰ παρόντα ἀσφαλῆ σῴζειν οἴεται, ἅπαντ' ἐκ δικαιότητα πρόπων, οὐ μετὰ ταῦτα ἐσθὲν προόψεσθε. Καί τοι σωφρονοῦσί γε οἱ μετρίως, ἐναργῆ παραδείγματά ἐστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίους καὶ πρὸς Ἀργείους ὑμῶν εἰπεῖν σιωπῶμεν· βέλτιον δ', ἴσως ἐστὶ καὶ πρὸς ὑμᾶς εἰρῆσθαι. Πῶς γὰρ οἴεσθε, ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς ἀκοῦσαι Ὀλυνθίους, εἴ τις λέγοι καλὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἠφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο. Ποτίδαιαν δὲ ἐδίδου, τοὺς Ἀθηναίων ἀποίκους ἐκβαλών· καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρπώσασθαι, ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄντινος πιστεῦσαι; οὐκ οἴεσθέ γε. Ἀλλ' ὅμως, ἔφην ἐγὼ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι, πολὺν δ' ἑαυτῶν ὑπ' ἐκείνου χρόνον, αἰσχρῶς ἐκπεσόντες, καὶ κρατηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων, καὶ πραθέντες·

θέντες· ὁ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τὰς τυράννους αὗται λίαν ὁμιλίαι· τί δὲ Θετταλοί; ἆρ' οἴεσθε, ἔφην, ὅτε αὐτῶν τὰς τυράννους ἐξέβαλε, καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὴν Πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα· ἀλλὰ μὴν γέγονε ταῦτα, καὶ πᾶσιν ἐστιν εἰδέναι ὑμῖν δέ, ἔφην ἐγὼ, διδόντα μὲν καὶ ὑπιγνόμενον θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δὲ ἤδη καὶ παρακεκρουσμένον, ἀπευξασθε, ἂν σωφρονῆτ', ἰδεῖν ἐστι τοίνυν νὴ Δί', ἔφην ἐγὼ, παντοδαπὰ εὑρημένα τὰς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα, καὶ τείχη, καὶ τάφροι, καὶ τἄλλα ὅσα τοιαῦτα· καὶ ταῦτα μέν ἐστιν ἅπαντα χρήσιμα, καὶ δαπάνης πολλῆς προσδεῖται· ἓν δέ τι κοινὸν, ἡ φύσις τοῦ ἓν φρονούντων ἐν ἑαυτῇ κέκληται φυλακήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τὰς τυράννους· τί δ' ἔστι τοῦτο; ἀπιστία· ταύτῃ φυλάττεσθε, ταύτης ἀντέχεσθε· ἐὰν ταύτῃ σώζησθε, οὐδὲν δεινὸν μὴ πάθητε. Τί δ' ἂν ζητεῖτε, ἔφην, ἐλευθερίαν; εἶτ' οὐχ ὁρᾶτε Φιλίππου ἀλλοτριωτάτας ταύτης καὶ τὰς προσηγορίας ἔχοντας; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ, καὶ νόμοις ἐναντίος· ὁ φυλάξεσθε ὅπως, ἔφην, μὴ πολέμῳ ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὑρήτε; ταῦτα ἀκούσαντες ἐνεύσομεν θορυβοῦντες ὡς ὀρθῶς λέγεται, καὶ πολλὰς ἐτέρας λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ, καὶ πάλιν ὕστερον ἀκούσαντες, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀπαχθήσονται τοῦ Φιλίππου φιλίας, οὐδ' ὧν ἐπαγγελ-

Κα

Καὶ ὃ τοῦτό ἐστιν ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτιστ' ὁρῶσι, τὶ πράξουσιν, ἀλλ' ὑμεῖς αὐτοὶ οἱ συνιόντες αὐτοὶ, καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς διοικίζεσθε, ὡς οὐκ ἔστ' μηδὲν ἤδη ποιεῖν λήσετε, ὡς ἐμοὶ δοκεῖ πάντα ταῦθ' ὑπομεινάντες· οὕτως ἡ παραυτίκα ἡδονὴ καὶ ῥᾳστώνη μείζον ἰσχύει τοῦ πόθ' ὕστερον συνοίσειν μέλλοντος. ἆρ' μὲν δὴ τῶν ὑμῖν πρακτέων, καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δ' ὢ νῦν ἀποκρινάμενοι, τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω. Ἦν μὲν ἓν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς συνεισόδους τὰς ὑποχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν. Οὔτε γὰρ αὐτὸς ἂν ποτε ὑπέμεινα πρεσβεύειν, ὅτε ἂν ὑμεῖς εὖ οἶσθ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοιαῦτα πράξειν τυγχάνοντα εἰρήνης φίλιππον ᾠήσεσθε· ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ' ἕτερος καλεῖν· τίνας; τοὺς ὅτ' ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης, ἀπὸ τῆς ὑστεραίας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, πρὸλεγον καὶ διεμαρτυρόμην, μὴ σὺν εἶναι προέσθαι Πύλας, ὑδὲ Φωκέας, λέγοντας, ὡς ἐγὼ μὲν ὕδωρ πίνων, εἰκότως δύσκολος καὶ δύσροπός εἰμί τις ἄνθρωπος. Φίλιππος δ' ὅπερ εὔξαιτ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει· καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τείχιεῖ, Θηβαίους δ' παῦσε τῆς ὕβρεως, Χερρόνησον δ', τοῖς αὐτοῦ τέλεσι διορύξει, Εὔβοιαν δ' καὶ τὸ Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος συναυδοὶ μνημονεύετε οἶσθ' ὅτι ἐλέγετο, καίπερ ὄντες οἱ δεινοὶ τοὺς ἀδικοῦντας

μεμνῆσθ· καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐξ ἀρχῆς προς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην προεψηφίσασθε· οὕτω τελέως ὑπήκουστε. Τί οὖν ταῦτα νῦν λέγω; καὶ καλεῖν φημι δεῖν τούτους; ἐγὼ νὴ τοὺς θεοὺς τοὐναντίον μὲν παῤῥησίας ἕρᾳ πρὸς ὑμᾶς, καὶ οὐκ ἀποκρύψομαι· οὐκ ἵνα εἰς λοιδορίαν ἐμπέσω, ἐμαυτῷ μὲν ἐξίσως λόγον παῤ ὑμῶν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξαρχῆς καινὴν παράσχω πρόφασιν δ' πάλιν γέ τι λαβεῖν παρὰ Φιλίππου, ὡς ἵνα τἀναλλὰ ἀδολεχῶ· ἀλλ' οἶμαι ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος πράττει μᾶλλον, ἢ τὰ νυνί· τὰ γὰρ πράγματα ὁρῶ προβαίνοντα, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς· φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ἦ τοῦτ' ἤδη· ὅταν δ' ὑμῶν ἀμελεῖν ἐξουσία γίγνηται τοῖς συμβαίνουσιν, μὴ δ' ἀκούητε ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστιν ἐμοῦ, μὴ δ' ὀργισθῆτε, ἀλλ' αὐτοὶ πάντα ὁρᾶτε, καὶ εὖ εἰδῆτε, ὀργιλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. Φοβοῦμαι δὲ μὴ τῶν πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς αὐτοὶς συνίσασι δεδωροδοκηκόσι, τοῖς ἐπανορθῶν τι πεφαυλισμένοις τοὺς λοιποὺς τούτους λυμαίνωνται, τὴν παρ' ὑμῶν ὀργὴν ἀφεῖσθαι συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ σιγῶσ, οὐκ εἰς τοῦτο αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας· ἕως δ' ἔτι μέλλει συνίσασθαι τὰ πράγματα, καὶ κατακόπτομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὑμᾶς ἐπαναμνῆσαι βούλομαι. Τίς ὁ Φωκέας καὶ Πύλας πείσας ὑμᾶς προέσθαι; ὧν κατασκάπτοντος ἐκείνου κύριος, τὸ ἐπὶ τὴν Ἀττικὴν ὁδὸν καὶ τὸ εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηκεν ὑμῖν, μήτε τοῖς Ἑλληνικοῖς δικαίοις, μήθ' ὑπὲρ τῶν ἔξω πραγμάτων

εἶναι

